


D. GREGORII NAZIANZENI, COGNOMENTO THEOLOGI, SELECTARVM EPISTOLARVM LIBRI QVATUOR Græcolatini.

IN VSVM STVDIOSÆ IVVENTVTIS NVNC PRIMVM SEPARATIM EDITI.

ADDITIS NONNVLLIS EX ANTHOLOGIA GRÆCORVM Epigrammatis.



Cum gratia & priuilegio Cæsareæ Maiestatis.

INGOLSTADII,
Ex Typographia ADAMI SARTORII.
ANNO M. D. XCVIII.



DE D. GREGORIO SANCTVS HIERONYMVS.

GREGORIVS primùm Sasimorum, deinde Nazianzenus Episcopus, vir eloquentissimus, præceptor, à quo scripturas explanante didici: ad triginta millia versuũ, omnia opera sua composuit, è quibus illa sunt. De morte fratris Cæsarij, περὶ φιλοπτωχίας, laudes Machabæorum, laudes Athanasij, laudes Maximi Philosophi post exilium reuersi, quem falso nomine quidam Heronis superscripserunt: quia est & alius liber, vituperationem eiusdem Maximi continens, quasi non licuerit eundem & laudare & vituperare pro tempore. Et liber hexametro versu virginitatis & nuptia-

nuptiarum contra ſe differentium. Aduerſum Eunomium liber vnus, de Spiritu ſancto liber vnus, contra Iulianum Imperatorem liber vnus. Secutus eſt autem Polemonem dicendi charactere: viuoque ſe, Epiſcopum in loco ſuo ordinans, ruri vitam Monachi exercuit. Deceſſitque ante hoc fermè triennium, ſub Theodoſio Principe.



LIBER



LIBER PRIMVS EPISTOLARVM SELECTARVM.

Γρηγόριος Ἀνυσίῳ.

Ἧκεν ἡμῖν παρὰ σοῦ γράμματα, τήν τε ὑγείαν δηλοῦντα, καὶ ὅτι σοι κατὰ νοῦν [a] ἐξέβη τὰ τῆς ἐκδημίας. καὶ πᾶσα τῷ Θεῷ χάρις. εἰ δὲ καὶ ἡμεῖς ἔχοιμέν τι τοιοῦτον περὶ ἡμῶν αὐτῶν ἐπιστέλλειν, πλείων ἡ χάρις.

[a] ἐκβαίνω.

Gregorius Anysio.

Redditæ sunt nobis tuæ litteræ, quæ te commoda valetudine esse, profectionemq́; tuam tibi ex animi sententia cessisse significant. Quo nomine ingentes Deo gratias habeo. Quod si nos quoque aliquid eiusmodi de nobis scribere possimus, maiores gratias habiturus sum.

Γρηγόριος Γρηγορίῳ Νύσσης.

2. Περὶ ὧν ἐπέσταλκας, οὕτως ἔχομεν. οὔτε [a] ὑπερορώμενοι δυσχεραίνομεν, καὶ τιμώμενοι χαίρομεν. τοῦ μὲν γὰρ ἡμεῖς ἄξιοι. τὸ δὲ τῆς ἡμετέρας φιλοτιμίας. προσεύχου περὶ ἡμῶν. τῇ βραχυλογίᾳ συγγίνωσκε. πάντως γὰρ εἰ καὶ μικρὰ ταῦτα, σιωπῆς γε μακρότερα.

a ὑπεροράω.

Gregorius Gregorio Nysseno.

De iis quæ scripsisti, ita sentio. Nec me contemni ægrè fero, & honore affici lætor. Illo enim digni sumus: hoc ambitionis nostræ est. Ora pro nobis: Breuitati ignosce. Nam profectò etiamsi hæc parua, silentio tamen longiora sunt.

Γρηγόριος Βιταλιανῷ.

3. Οὐ συνεχῶς [a] ὁμιλοῦμέν σοι, τὸ δὲ αἴτιον, ὅτι πολλοὶ περί σε, καὶ οἷς ἥκιστα χαίρομεν. εἰ δὲ, [b] ἀνακαθάροις σεαυτὸν τῶν πολλῶν, καὶ σύνοικον ἔχοις τὴν ἀρετὴν, [c] ὄψει καὶ χωλῶν δρόμον, ὡς ἡ παροιμία. τοῦτο καὶ [d] ὑπισχνούμεθα σὺν θεῷ, καὶ πράξομεν.

a ὁμιλέω. b ἀνακαθαίρω. c ἕπομαι. d ὑπισχνέομαι.

Gregorius Vitaliano.

Haud aſsiduè tecum verſamur. Si cauſam quæris, quia multi circum te ſunt, etiam hi, quibus minimè

nimè delectamur. Quod si à multis te repurges, ac virtutem contubernalem asciscas, claudos quoque, vt vulgò dici solet, currentes videbis. Hoc, Deo iuuante, & pollicemur & faciemus.

Γρηγόριος Νικοβούλῳ.

Τὸ λακωνίζειν οὐ τοῦτό ἐστιν, ὥσπερ [a] οἴει, ὀλίγας συλλαβὰς γράφειν, ἀλλὰ περὶ πλείστων ὀλίγας. οὕτως ἐγὼ καὶ βραχυλογώτατον Ὅμηρον λέγω, καὶ πολὺν τὸν Ἀντίμαχον. πῶς; τοῖς πράγμασι κρίνων τὸ μῆκος, ἀλλ' οὐ τοῖς γράμμασι. 4.

a οἴομαι

Gregorius Nicobulo.

Laconicè loqui non est, vt putas, paucas syllabas scribere, sed de plurimis rebus paucas. Atque hac ratione ego & maximè breuiloquum Homerum esse pronuncio, & prolixum Antimachum. Quî tandem istud? nimirum rebus, non autem litteris, longitudinem æstimans.

Τῷ αὐτῷ.

Ἀεὶ προτιμήσας ἐμαυτοῦ τὸν μέγαν Βασίλειον, εἰ κἀκείνῳ τοὐναντίον δοκεῖ, καὶ νῦν προτιμῶ οὐχ ἧττον διὰ τὴν ἀλήθειαν, ἢ τὴν φιλίαν. διὰ τοῦτο προτιθεὶς τὰς ἐκείνου ἐπιστολὰς, τὰς 5.

a συζεύγνυμαι. ἐμὰς ὑποτίθημι. καὶ γὰρ ἐπιθυμῶ πανταχοῦ [a] συνεζεῦχθαι ἡμᾶς ἀλλήλοις, καὶ ἅμα τύπον παρέχων τοῖς ἄλλοις τοῦ μετρίου καὶ τῆς ὑφέσεως.

Eidem.

a id est, tametsi ille me sibi anteferat. *Cum Basilium Magnum mihi semper prætulerim, [a] tametsi illi contrarium videatur: tum nũc quoq; præfero, non minùs veritate quàm amicitia motus. Quocirca epistolis illius priore loco positis meas subnecto. Vbiq; enim nos inter nos coniunctos esse cupio: simulq; etiam id ago, vt modestiæ ac submissionis exemplum aliis præbeam.*

Γρηγόριος Θεοδώρῳ ἐπισκόπῳ.

6. Οἱ τοῦ τιμιωτάτου υἱοῦ Νικοβούλου παῖδες, [a] ἥκασιν εἰς τὴν πόλιν, ταχυγραφεῖν [b] μαθησόμενοι. τούτοις τά τε ἄλλα καὶ οἰκείως [c] ἰδεῖν, καὶ πατρικῶς [d] θέλησον (οὐ γὰρ καὶ τοῦτο κωλύουσιν οἱ κανόνες) καὶ ὅπως ἂν [e] γειτονῶσι τῇ ἐκκλησίᾳ [f] φρόντισον. βούλομαι γὰρ αὐτοῖς καὶ τὸ ἦθος [g] τυποῦσθαι πρὸς ἀρετὴν, τῇ σῇ τελειότητι συνεχῶς [h] ἐντυγχάνοντας.

a ἥκω.
b μανθάνω.
c εἴδω.
d θέλω.
e γειτονέω.
f φροντίζω.
g τυπόω.
h ἐντυγχάνω.

Gregorius Theod. Episcopo.

Charissimi filij inei Nicobuli, pueri ad vrbem profecti sunt, vt celeriter scribendi artem addiscant.

ſcant. Abs te peto, vt, cùm in aliis rebus beneuolo eos ac paterno oculo conſpicias, (neq; enim, quò minùs id quoq; fiat, canones vetant) tum etiam id cures, vt non longè ab Eccleſia habitent. Cupio enim mores quoq; ipſis ad virtutem informari. Quod ſcilicet aſſequentur, ſi perpetuam tecum, hoc eſt, cum homine omnibus virtutum numeris abſoluto, conſuetudinem habeant.

Γρηγόριος εὐδοξίῳ ῥήτορι.

a Ἀλγῶ τῇ νόσῳ καὶ χαίρω, οὐχ ὅτι ἀλγῶ, ἀλλ' ὅτι τοῦ καρτερεῖν τοῖς ἄλλοις εἰμὶ διδάσκαλος. ἐπειδὴ γὰρ τὸ μὴ πάσχειν οὐκ ἔχω, τοῦτό γε τῷ πάσχειν παρακερδαίνω τὸ φέρειν καὶ τὸ εὐχαριστεῖν, ὥσπερ ἐν τοῖς εὐθύμοις, οὕτω δὲ κἂν τοῖς ἀλγεινοῖς· ἐπειδὴ πείθομαι μηδὲν ἄλογον εἶναι, παρὰ τῷ λόγῳ τῶν ἡμετέρων, κἂν ἡμῖν οὕτω [b] φαίνηται.

7. a ἀλγέω. Καρτερειν

λόγος, ἄλογον. parano-maſia. b φαίνομαι

Gregorius Eudoxio Rhetori.

Morbo crucior & gaudeo, non quia crucior, ſed quia aliis patientiæ ſum magiſter. Quoniam enim non id habeo vt dolore vacem, hoc lucri obiter ex dolore facio, quod perfero, & gratias ago vt in lætis rebus, ita etiam in acerbis: quandoquidem illud exploratum habeo, nihil rerũ noſtrarum apud ſum-

mam * *Rationem [filium Dei] expers rationis esse, tametsi ita nobis videatur.*

* Λόγος enim Græcis Theologis Filiũ Dei significat.

Τῷ αὐτῷ.

8\. Πρότερον μὲν αὐτὸς ἔγραφόν σοι τοὺς παρακλητικοὺς [λόγους] (εἰς τὸ πάθος [a] περιπεπτώκεις γὰρ) νυνὶ δέ μοι δοκεῖς αὐτὸς αὖ ἡμᾶς [b] παρακαλέσαι, μικροῦ τὰ ἴσα [c] κακοπαθοῦντας. ἔδει γὰρ ἡμᾶς φίλους ὄντας, μηδ' ἐνταῦθα χωρίζεσθαι. μᾶλλον δὲ, ἤδη παρακέκληκας, οἷς καρτερεῖς, τὸ καρτερεῖν [d] εἰσηγούμενος.

a περιπίπτω. b παρακαλέω. c κακοπαθέω. d εἰσηγέομαι.

Eidem.

Prius quidem leuandi doloris tui causa consolatorias litteras ad te scribebam (prior enim in morbum incideras) nunc autem commodè ipse nos consolari poßis, in iisdem propemodum molestiis versantes. Conueniebat enim nos cùm amicitiæ vinculo inter nos deuincti simus, ne hac quoque in re disiungi. Quin potius iam consolationis officio functus es, nimirum per patientiam tuam, ad patientiam nos exhortans.

Γρηγόριος Ἰουλιανῷ,

9\. Ἔχω τὴν ὑπόσχεσιν καὶ [a] θαρρῶ τῷ τρόπῳ, δι' ὃν ἔχω καὶ τὴν δωρεάν. μάλιστα μὲν οὖν [b]

a θαῤῥέω. b εἴδω.

οἶδε

οἶδε τὸ μέτρον τῶν [c] ἐπιδόσεων, ὁ μέγας τῶν [d] χρεῶν διαλυτής. εἰ δὲ καὶ ἐφ' ἡμῖν ἐστι τὰ τοιαῦτα [e] συντίθεσθαι, παρ' ἡμῶν ἡ θυσία, παρὰ σοῦ τὸ φιλάνθρωπον. [f] μερισώμεθα τὴν ἀντίδοσιν.

c ἐπίδοσις. d τὸ χρέος εος. e συντίθημι. f μερίζομαι.

Gregorius Iuliano.

SPonſionem habeo moribuſq́; tuis confido, propter quos donum quoque habeo. Atqui remunerationum menſuram magnus ille æris alieni diſſolutor maximè nouit. Quod ſi in nobis quoq; ſitum eſt, vt hæc componamus, * à nobis ſacrificium, à te benignitas proficiſcitur. Remunerationem inter nos partiamur.

* id eſt, vt tu in nos benignus, ego ſacrificiis offerendis in te pius & gratus ſim.

Γρηγόριος Θεοδώρῳ ἐπισκόπῳ.

10.

Αἷμα μὲν ἐμὸν, θρέμμα δὲ ἡμέτερον, * κτῆμα δὲ, Θεῷ τῶν τιμίων προσάγω τῇ σῇ εὐλαβείᾳ τὴν αἰδεσιμωτάτην θυγατέρα ἡμῶν Ἀμαζονίαν τὴν παρθένον· ἧς καὶ τὸ πιστὸν [a] αἰδούμενος, καὶ τῇ ἀῤῥωστίᾳ τοῦ σώματος [b] βοηθῶν, καὶ διὰ τοῦτο ἐν πᾶσι χεῖρά τι ὀρέγων, καὶ κηδόμενος, πρᾶγμα ποιήσεις ἐλεύθερον, καὶ τῆς σῆς εὐλαβείας ἄξιον, [c] προσθήσω δὲ, καὶ τῆς ἡμετέρας φιλίας.

* pro κτῆμα τὸ τίμιον θεῷ. a αἰδέομαι. b βοηθέω. c προστίθημι.

Gregorius Theod. Episcopo.

PRopinquã quidem meam, tuã autem alumnam, possessionem verò Deo charam, pietati tuæ offero, nimirum cumprimis venerandam filiam nostram, virginem Amazoniam, cuius tu si & fidem honori habeas, & aduersæ corporis valetudini opem feras, ob idq́ in omnibus rebus manum ipsi porrigas, eiusq́ curam suscipias, rem sanè ingenuam, tuaq́ pietate, adeamdam & amicitia nostra dignam facies.

Γρηγόριος Πανσοφίῳ.

11. Ὅσον [a] Ἰβήρων καὶ ἡμῶν τὸ μέσον, ἡμερῶν οὐκ
a ἴβηρ. ὀλίγων ὁδός. ἀλλ' ἡ φιλία, καὶ τὰ [b] διεστῶ-
b δίϊστημι. τα ποιεῖ πλησίον. τὰ δὲ σύμβολα τῆς ἑορτῆς ὡς
ἡδέα; τὸ δὲ τῆς κλήσεως ὅσον, καὶ τὸ ποθεῖν τὴν
συντυχίαν τὴν ἡμετέραν; τί οὖν ἀντὶ τούτων [c]
c ἐπεύχομαι. ἐπεύχομαί σοι τοσοῦτον; Ἀγαθὸς εἴης τοιοῦτος
ὤν. εἰ δὲ δεῖ τι καὶ μεῖζον εἰπεῖν, σαυτὸν ὑπερ-
βάλλοιο.

Gregorius Pansophio.

QVantum inter Hispanos, tantùm inter nos quoque interiectum est spatium, hoc est, dierum haud paucorum iter. At amicitia etiam ea, quæ inter se disiuncta & remota sunt, propinqua efficit. Festi

sti porrò symbola quàm læta & iucunda? Quantum item illud est, quod abs te vocamur, congressusq́ noster expetitur? Quidnam igitur tibi pro his tantùm optabo? Bonus vtinam sis, cùm talis sis. Quodsi etiam quiddam maius dicendum est, te ipsum superes. — De his symbolis vide epistolam 32. libri primi.

Γρηγόριος Ἀλυπίῳ.

Φουρτουνάτος, ὁ τὴν ἐπιστολὴν ἐγχειρίζων σοι, φίλος καὶ οἰκεῖός ἐστιν ἡμέτερος. εἰ δὲ δεῖ προσθήκης τινὸς, καὶ διάκονος τῶν [a] ἐπαινουμένων. ταῦτα ἔδει σε [b] μαθεῖν παρ' ἡμῶν. τἄλλα δὲ οἶδ' ὅτι παρὰ σεαυτοῦ [c] προσθήσεις, τὸ οἰκείως ὁρᾶν τὸν ἄνδρα καὶ κηδεμονικῶς, ἐν οἷς ἂν δέηται τῆς σῆς εὐλαβείας. ὡς, ὅ, τι τοῦτον εὖ ποιήσῃς, εὐεργετήσεις ἡμᾶς [d]. 12.

a ἐπαινέω. b μανθάνω. c προστίθημι. d εὐεργετέω.

Gregorius Alypio.

FOrtunatus, qui hanc tibi epistolam reddit, amicus & familiaris noster est, ac si aliquid præterea addendum est, probus & laude dignus Diaconus. Hæc te à nobis discere oportebat. Alia autem, quin à te ipso adiicias, non dubito, hoc est, vt eum beneuolo animo conspicias, eiq́, quibus in rebus pietate tua & ope indiguerit, consultum velis. Certè quidquid in eum beneficij contuleris, eo nos affeceris.

Γρηγό-

Gregorius Theod. Episcopo.

PRopinquã quidem meam, tuã autem alumnam, possessionem verò Deo charam, pietati tuæ offero, nimirum cumprimis venerandam filiam nostram, virginem Amazoniam, cuius tu si & fidem honori habeas, & aduersæ corporis valetudini opem feras, ob idq́; in omnibus rebus manum ipsi porrigas, eiusq́; curam suscipias, rem sanè ingenuam, tuaq́; pietate, adde & amicitia nostra dignam facies.

Γρηγόριος Πανσοφίῳ.

11.

a ἴβηρ. b διίστημι. Ὅσον [a] Ἰβήρων καὶ ἡμῶν τὸ μέσον, ἡμερῶν οὐκ ὀλίγων ὁδός. ἀλλ' ἡ φιλία, καὶ τὰ [b] διεστῶτα ποιεῖ πλησίον. τὰ δὲ σύμβολα τῆς ἑορτῆς ὡς ἡδέα; τὸ δὲ τῆς κλήσεως ὅσον, καὶ τὸ ποθεῖν τὴν
c ἐπεύχομαι. συντυχίαν τὴν ἡμετέραν; τί οὖν ἀντὶ τούτων [c] ἐπεύχομαί σοι τοσοῦτον; Ἀγαθὸς εἴης τοιοῦτος ὤν. εἰ δὲ δεῖ τι καὶ μεῖζον εἰπεῖν, σαυτὸν ὑπερβάλλοιο.

Gregorius Pansophio.

QVantum inter Hispanos, tantùm inter nos quoque interiectum est spatium, hoc est, dierum haud paucorum iter. At amicitia etiam ea, quæ inter se disiuncta & remota sunt, propinqua efficit. Festi

sti porrò symbola quàm læta & iucunda? Quantum item illud est, quod abs te vocamur, congressusq; noster expetitur? Quidnam igitur tibi pro his tantùm optabo? Bonus vtinam sis, cùm talis sis. Quod si etiam quiddam maius dicendum est, te ipsum superes.

De his symbolis vide epistolam 32. libri primi.

Γρηγόριος Ἀλυπίῳ.

Φουρτουνάτος, ὁ τὴν ἐπιστολὴν ἐγχειρίζων σοι, φίλος καὶ οἰκεῖός ἐστιν ἡμέτερος. εἰ δὲ δεῖ προσθήκης τινὸς, καὶ διάκονος τῶν [a] ἐπαινουμένων. ταῦτα ἔδει σε [b] μαθεῖν παρ' ἡμῶν. τἄλλα δὲ οἶδ' ὅτι παρὰ σεαυτοῦ [c] προσθήσεις, τὸ οἰκείως ὁρᾶν τὸν ἄνδρα καὶ κηδεμονικῶς, ἐν οἷς ἂν δέηται τῆς σῆς εὐλαβείας. ὡς, ὅ,τι τοῦτον εὖ ποιήσῃς, εὐεργετήσεις ἡμᾶς [d].

12.

a ἐπαινέω.
b μανθάνω.
c προστίθημι.
d εὐεργετέω.

Gregorius Alypio.

F*Ortunatus, qui hanc tibi epistolam reddit, amicus & familiaris noster est, ac si aliquid prætereà addendum est, probus & laude dignus Diaconus. Hæc te à nobis discere oportebat. Alia autem, quin à te ipso adiicias, non dubito, hoc est, vt eum beneuolo animo conspicias, eiq;, quibus in rebus pietate tua & ope indiguerit, consultum velis. Certè quidquid in eum beneficij contuleris, eo nos affeceris.*

Γρηγό-

Γρηγόριος τῷ μεγάλῳ Βασιλείῳ.

13.

a ψεύδομαι. b σύνειμι. c κελεύω. d καταδέχομαι.

a Ἐψευσάμην, ὁμολογῶ, τὴν ὑπόσχεσιν, [b] συνέσεσθαί σοι καὶ συμφιλοσοφήσειν, καθομολογήσας ἐκ τῶν Ἀθηνῶν ἔτι καὶ τῆς ἐκεῖσε φιλίας καὶ συμφυΐας. οὐ γὰρ ἔχω τι τούτων εἰπεῖν οἰκειότερον. ἐψευσάμην δὲ οὐχ ἑκὼν, ἀλλὰ νόμου νόμον νικήσαντος, τοῦ θεραπεύειν [c] κελεύσαντος τοὺς γεννήτορας, τὸν τῆς ἑταιρείας καὶ συνηθείας. οὐ μὴν παντάπασι ψεύσωμαι ἂν τοῦτο αὐτὸ εἰ [d] καταδέξῃ. τὰ μὲν γὰρ ἡμεῖς σοι συνεσόμεθα· τὰ δὲ αὐτὸς ἡμῖν θέλησον, ἵν᾽ ᾖ τὰ πάντα κοινὰ, καὶ τὸ τῆς φιλίας ὁμότιμον. οὕτω γὰρ ὑπάρξει, καὶ τὸ τούτους μὴ λυπεῖν, καὶ τὸ σοῦ τυγχάνειν.

Gregorius magno Basilio.

Promissis non steti, fateor: quippe iam inde ab Athenis illiusque loci amicitia & animorum connexione (nec enim aptius verbum occurrit) facturum me receperam, vt tecum vitæ consuetudinem haberem, simulque philosopharer. Fidem autem fefelli, haud sponte ac libenter: verùm quod lex legem superarit, èa nimirum, quæ parentes colere iubet, sodalitatis & familiaritatis legem. Non autem prorsus fallam, siquidem hoc gratum tibi futurum est. Partim

tim enim nos tecum erimus, partim ipse nobiscum esse ne quæso graueris, vt omnia sint communia, & æqualis amicitia. Sic enim fiet, vt nec parentes mœrore afficiamus, & te fruamur.

Γρηγόριος Εὐδοξίῳ ῥήτορι.

Πατρὸς [a] εἷς ἀγαθοῖο φίλον τέκος, οἷα πυνθάνομαι περὶ σοῦ. μόνον [b] ἐπαίρου, καὶ [c] κατευοδοῦ, καὶ βασίλευε. καὶ ἡμεῖς [d] εὐφημήσομεν, κἂν μήπω τὴν φιλοσοφίαν ὁμολογῇς. οὐ γὰρ οἷς λέγεις προσέχομεν μᾶλλον, ἢ οἷς ποιεῖς. ἐπειδὴ καὶ αὐτὸ τὸ μὴ ὁμολογεῖν τὴν φιλοσοφίαν, σφόδρα φιλόσοφον. Ὃ περὶ τοῦ Λυσίου τοῦ Ῥήτορος [e] φησὶν ὁ κριτικὸς Διονύσιος, ὅτι τὸ ἄτεχνον αὐτοῦ, λίαν ἔντεχνον ἦν. 14.

a εἰμὶ. b ἐπαίρομαι. c κατευοδόομαι. d εὐφημέω. e φημὶ.

Gregorius Eudoxio Rhetori

EGregio filii satus es patre, vt de te audio. Tantùm attolle te, prosperè incede, & regna; nosq́; laudes tuas prædicabimus: etiamsi nondum philosophiam profitearis. Neque enim ad ea quæ dicis, magis animum adiicimus quàm ad ea quæ facis. Quandoquidem hoc quoque ipsum, philosophiam non profiteri, valdè philosophicum est, quod de Oratore Lysia censor Dionysius ait, nempe hoc ipsum quod artificio careat, summi artificij esse.

Γρηγό-

Γρηγόριος Βοσπορίῳ Κολωνίας.

15. α αἰσχύνομαι. Αἰδοῦμαί σου τῆς κλήσεως τὸ φιλόπονον. ᵃ αἰσχυνοίμην δ' ἂν ἐμαυτὸν πλέον, μήτ' ἀληθῆ
b δείδω. γράφων. ᵇ δέδοικα μὴ πέρας ἡμῖν ἔχῃ τὰ πράγματα. οὕτως αἰσχύνομαι τὴν ἐμὴν πολιάν, καὶ τὴν κοινὴν τράπεζαν, καὶ τοὺς ἐκ νεότητος πόνους, ἔλαττον παρ' ὑμῖν ἔχων, καὶ τῶν κακίστων,
c οἴομαι. καὶ ὑφ' ὧν ἥκιστα ἂν ᶜ ᾠήθην, ἀπημαζόμενος.

Gregorius Boſporio Colonienſi.

NOminis tui induſtriam ac laboris amorem vereor. Mei autem ipſius me magis puderet, ſi non ad te vera ſcriberem. Metuo ne res noſtræ finem habeant, ita me & ſenectutis iam canæ, & communis menſæ, & iam inde à iuuenili ætate ſuſceptorum laborum pudet, quod inferiore apud vos, quam vel improbiſsimi ac ſceleratiſsimi homines, loco ſim, atq; ab iis, à quibus minimè putaui, contemnar.

Γρηγόριος Ἐπιφανίῳ.

16. α προκαλέομαι. Νόμῳ ᵃ προκαλοῦμαι νόμον, τὸν κελεύοντα
b ἐξηγέομαι. τιμᾶσθαι πατέρα τῷ κελεύοντι διδάσκεσθαι παῖδας. νῦν μὲν ᵇ ἐξηγοῦμαί σοι πρὸς τὰ κάλλιστα·

λισα· καὶ οἷον δεξιὰν φιλίας [c] δέχου τὰ γράμ- c δέχομαι.
ματα. εἰ δὲ [d] ἀντεπεπιθείης, καὶ πολλάκις τοῦτο d ἀντεπι-
ποιεῖν [e] βουληθείης, ἴσως ποιήσεις καὶ γέροντα αἰχ- τίθημι.
μητὴν, οὐδὲν τοῦ Νέστορος ἀγεννέστερον. e βούλομαι.

Gregorius Epiphanio.

Lege legem prouoco, eâ nimirum, quæ filios erudire iubet, eam quæ patri honorem habere imperat. Ac nunc ad res præclarissimas ducem me tibi præbeo: ac velut amicitiæ dextram literas nostras accipe. Quod si impetum contra facias, ac sæpè id facere in animum inducas, fortasse senem quoque pugnacem reddes, Nestoreque nihilo ignauiorem.

Γρηγόριος Ἀλυπίῳ.

Ἐπαινῶ ὅτι κήδῃ τῶν ἡμετέρων, εἶτ' ἐπαινῶ τὸ 17.
καὶ γνωρίσαι δι' ἐπιστολῆς ἡμῖν, ὅτι τοῦτο ποιεῖς.
τὸ μὲν γὰρ τῷ δικαίῳ χαρίζῃ, τὸ δὲ, ἡμῖν. ἀλλ' ὅ-
πως μὴ [a] ἀποκάμῃς ἡμῖν καὶ πρὸς τὸ ἑξῆς εὖ a ἀποκά-
ποιῶν. ἀεὶ δέ τι φαίνοιο τῇ σπουδῇ [b] προστιθεὶς, μνω.
ἵνα σε καὶ πλέον θαυμάζωμεν. ὁ δὲ υἱὸς εὐφή- b προστί-
μιος, οὔπω μὲν πάρεστιν· ἐλπίζεται δὲ, καὶ θημι.
οἶμαί σοι μὴ πολλοῦ πόνου [c] δεήσειν, εἰ c δεῖ.
παραγένοιτο.

Gregorius Alypio.

Quod rerum nostrarum curam geras laudo. Quod item te hoc facere, nobis per literas significes, laudo. Illud enim iustitiæ tribuis: hoc nobis. Ac vide ne deinceps de nobis benè merendo defatigeris: verùm tuo erga nos studio cumulum aliquem subinde addas: quo maiorem tui admirationem concipiamus. Filius autem Euphemius nondum adest: spes est, eum breui affuturum. Nec magno, vt opinor, tibi labore opus erit, si accesserit.

Γρηγόριος Ἡρακλειανῷ.

18. Ἀεὶ σὺ παρ' ἡμῖν ὁ καλὸς [a] Ἡρακλειανὸς καὶ
[a] Nominatiuus λέγων τι παιδεύσεως καὶ ἀκούων. καὶ Κων-
pro vo- σταντίνου πόλις μεθ' ἡμῶν ἡ καλὴ δι' ὑμᾶς, εἰ καὶ
catiuo. πρόσκαιρος, οὕτω τοῦ φθόνου [a] θελήσαντος. εἰ
[a] θέλω. δὲ καὶ παρὰ σοὶ Γρηγόριος, ἄμεινον ἀμφοτέ-
[b] ἐπιστέλλω ροις ἔχοι. δηλώσεις δὲ τοῦτο δι' ἐπιστολῶν, ἃς [b]
ἐπιστελεῖς ἡμῖν. ὃ μόνον ἐνδέχεται.

Gregorius Herculiano.

Semper apud nos es, ô bone Herculiane, doctrinæ aliquid & dicens & audiens. ac pulchra Constantini vrbs propter vos nobiscum est, etiamsi breui duntaxat temporis spatio: ita enim liuori placuit. Quod si etiam apud te Gregorius sit, melius vtrique nostrum

hoc

hoc fuerit; Id autem per epiſtolas, quas ad nos mittes, planum facies. Nam hoc vnum licet.

Γρηγόριος Νεμεσίῳ.

Τί τοῦτο; [a] παρέδραμες ἡμᾶς [b] ἀγνοήσαντας· 19.
καὶ [c] λαβέσθαι οὐκ ἦν, οὐ μᾶλλόν γε ἢ τῆς ἠ-
χοῦς τοὺς πλησίον ἔχειν αὐτὴν νομίζοντας, καὶ [d]
ἀπατωμένους ταῖς ἀντιῤῥήσεσιν. ἢ τοῦτο μόνον
ἂν τῶν πάντων [e] ἐτυραννήσαμεν. ἀλλ' ἐπιστέλ-
λοις γε ἡμῖν, ὦ θαυμάσιε. καὶ τοῦτο [f] ἕξομεν ἀν-
τὶ σοῦ, σκιάν, ὃ δὴ λέγεται, ἀντὶ σώματος.

a παρατρέχω. b ἀγνοέω. c λαμβάνομαι. d ἀπατάω. e τυραννέω f ἔχω.

Gregorius Nemeſio.

*Q*Vidnam hoc? *inſcios nos præteriſti: nec magis arripi potuiſti, quàm Echo ab iis, qui eam propinquam ſe habere exiſtimant, ac per oppoſitas voces decipiuntur. Nam alioqui hac vna in re vim tibi adhibuiſſemus: At ſaltem ad nos ſcribe, vir eximie, idq; pro te habebimus, hoc eſt, vt dici conſueuit, vmbram pro corpore.*

Γρηγόριος Ἀμφιλοχίῳ.

Παίζεις. ἐγὼ δὲ οἶδα τὸν κίνδυνον [a] Ὀζιζα- 20.
λέως [b] πεινῶντος, ὅταν μάλιστα [c] γεωρ-
γήσηται. ὧν ἐν τοῦτο μόνον ἐπαινετόν, ὅτι κἂν λι-

a Ὀζιζαλεύς. nomē loci. b πεινάω. c γεωργέω.

d φθείρω. e εὐωδέω.

μῷ ᵈ φθάρωσιν, ἀλλ' ᵉ εὐωδῶσι, καὶ λαμπρᾶς τυγχάνουσι τῆς ταφῆς. πῶς; πολλοῖς βάλλονται καὶ ποικίλοις τοῖς ἄνθεσιν.

Gregorius Amphilochio.

LVdis? At ego Ozizalei periculum noui, tum demum fame laborantis, cùm maximè excolitur. Quorum tamen hoc vnum laudabile est, quod etiamsi fame intereant, [incolæ] tamen suauiter olent, ac splendidam sepulturam consequuntur. Qui tandem istud? Multis ac variis floribus consperguntur.

21.

a οἰκειόομαι Imp. aor. 1. med. b προλαμβάνω. c pro ᾠκειώσω. Ind. aor. 1. med. d ἀξιόω. e προτρέπω. f λαμβάνω. g κρείττων, de Deo dictum reperitur: aliâs melior ab ἀγαθός.

Γρηγόριος Ἀλυπίῳ.

a Οἰκείωσαι τὰ ἡμέτερα, ὥσπερ οὖν καὶ ᵇ προλαβὼν οἰκειώσω, καὶ δι' ἔργων τοῦτο δεδήλωκας. ᶜ οἰκειώσῃ δὲ τὸν ἀγαπητὸν ἀδελφόν, καὶ συμπρεσβύτερον ἡμῶν Λουκιανόν, τά τε ἄλλα ἡδέως ὁρᾶν ᵈ ἀξιῶν, καὶ ᵉ προτρεψάμενος κήδεος τῆς αὐτόθι τῶν συγγενῶν ἡμῶν οἰκίας· ἐπειδὴ σὺν Θεῷ καὶ τὰ πράγματα πέρας ᶠ ἔλαβε δεξιόν, χειρί τε ἡμετέρα καὶ φιλανθρωπίᾳ τοῦ ᵍ κρείττονος.

Grego-

Gregorius Alypio.

Res nostras amplectere, tuasque existima, quemadmodum & prius amplexus es, idque re ipsa perspicuum fecisti. Amplecteris autem, si dilectum fratrem & compresbyterum nostrum Lucianum, cum cæteris in rebus læto atque hilari oculo aspicias, tum eum moneas & horteris, vt domus cognatorum nostrorum quæ illic est, curam gerat: quandoquidem diuini numinis fauore negocia prosperum finem habuerunt. Quod quidem tum ob nostrum iudicium, tum ob Dei benignitatem contigit.

Γρηγόριος Πέτρῳ.

Πλεῖστον [a] ἐμακρύναμεν ἀπ' ἀλλήλων, μήτε 22.
κατ' ὄψιν [b] πλησιάσαντες, μήτε δι' ἐπιστολῶν [c] ὁμιλήσαντες. θαῤῥῶ δὲ, ὅτι σωμάτων ἐστὶ διάστασις, ἀλλ' οὐ πνεύματος, ἀλλὰ νῦν ὅτε καιρὸς, καὶ προσαγορεύω σου τὴν εὐλάβειαν, καὶ προσεύχεσθαι περὶ ἡμῶν ἀξιῶ, καὶ γήρᾳ καὶ νόσῳ καμνόντων, καὶ ἀγωνίᾳ τῆς πολιτείας, καὶ τῆς ἐκδημίας.

a μακρύνω
b πλησιάζω.
c ὁμιλέω.

Gregorius Petro.

Diuturno tempore alter ab altero remoti fuimus, atque nec mutuo conspectu nobis frui, nec per literas colloqui contigit. Verùm hanc disiunctionem

corporum duntaxat, ac non item animorum esse confido. Nunc autem cùm occasio se offert, & pietatem tuam saluto, & vicissim abs te peto, vt pro nobis, qui & senectute, & morbo, & vitæ acta, ac discessus è vita metu ac sollicitudine laboramus, preces ad Deum adhibeas.

Γρηγόριος Γρηγορίῳ Νύσσης.

23. Μὴ σφόδρα δάκνου τοῖς λυπηροῖς. ἂν γὰρ ἧττον λυπώμεθα, ἧττόν ἐστι λυπηρά. οὐδὲν δεινὸν, εἰ [a] ἀνεθάλφθησαν οἱ αἱρετικοὶ, καὶ τῷ ἔαρι θαῤῥοῦσι τῶν φολεῶν ἐξερπύσαντες, ὡς αὐτὸς γράφεις. μικρὰ [b] συριοῦσιν, εὖ οἶδα, εἶτα [c] καταδύσονται, καὶ τῇ ἀληθείᾳ καὶ τῷ καιρῷ [d] πολεμούμενοι. καὶ τοσῷ μᾶλλον, ὅσῳπερ ἂν τῷ Θεῷ τὸ πᾶν ἐπιτρέπομεν.

a ἀναθάλπω.
b συρίζω.
c καταδύομαι.
d πολεμέομαι.

Gregorius Gregorio Nysseno.

Molestis rebus ne nimis discrucieris. Si enim minorem ex his mœrorem capiamus, minus molestæ erunt. Non ita graue putandum est, quod recaluerint Hæretici, ac veris amœnitate freti ex latebris suis prorepant, vt ipse scribis. Paulùm, mihi crede, sibilabunt, ac postea in terram se abdent, tum à veritate,

tate, tum à tempore oppugnati, idq́; eò magis, si rem totam Deo permiseris.

Γρηγόριος Θεοδώρῳ ἐπισκόπῳ.

Χρεωστεῖς μὲν ἡμῖν καὶ ὡς νοσεροῖς θεραπείαν, εἴπερ μία τῶν ἐντολῶν, [a] ἀσθενούντων ἐπίσκεψις. χρεωστεῖς δὲ καὶ ἁγίοις μάρτυσι τὴν δι' ἔτους τιμήν, ἣν ἐν Ἀριανζοῖς τοῖς σοῖς ἑορτάζομεν τῇ κβ' τοῦ καθ' ἡμᾶς μηνὸς [b] Δαθουσᾶ. καὶ ἅμα οὐκ ὀλίγα τῶν ἐκκλησιαστικῶν [c] δεῖται κοινῆς διασκέψεως. Πάντων οὖν ἕνεκα, ἀόκνως παραγενέσθαι καταξίωσον. καὶ γὰρ εἰ πολὺς ὁ κάματος, ἀλλ' ἀντίρροπος ὁ μισθός. 24.

a ἀσθενέω.

b Fortasse idem qui aliâs Cappadocibus τετυσία, id est, Aprilis.

c δέομαι.

d παραγίνομαι.

Gregorius Theodoro Episcopo.

Tv, & nobis, vt aduersa valetudine laborantibus, curam atq; officium debes (si quidem vnum ex præceptorum numero est, ægrotantium visitatio) & item sanctis Martyribus anniuersarium honorem debes, quem in Arianzis tuis vicesimo secundo mensis Dathusa, vt apud nos appellatur, die celebramus. Ac simul non pauca Ecclesiastica negotia sunt, quæ communem considerationem requirant. His igitur omnibus de causis abs te peto, vt impigrè ad nos venias.

nias. Etsi enim ingens labor est : par tamen est merces.

Γρηγόριος Στρατηγίῳ.

25. Ὢ πόσον ἀλλήλων [a] διετειχίσθημεν. οὕτω τοῦ Θεοῦ τὰ ἡμέτερα φέροντος. ὢ τῆς ἱερᾶς ἑστίας, καὶ συζυγίας, καὶ τοῦ κοινοῦ λιμένος πάντων τῶν [b] φοβουμένων τὸν κύριον. ἄλλοι τῶν ἡμετέρων καλῶν ἀπολαύουσιν, ἐμοὶ δὲ [c] ὑπελείφθη μόνη ἡ μνήμη, καὶ τὸ ζηλοτυπεῖν τοὺς μετέχοντας. ἵνα δὲ καὶ αὐτὸς τῶν ἡμετέρων μετέχῃς καλῶν, γνωρίζω σοι τὸν τιμιώτατον ἀδελφὸν καὶ συμπρεσβύτερον ἡμῶν Σακερδῶτα, ὃν οἶδα, ὅτι [d] θεασάμενος, [e] ἐρεῖς, ὄντως καλοῦ παντὸς, ἐραστὴς ὁ Γρηγόριος.

a διατειχίζομαι.
b φοβέομαι
c ὑπολείπομαι.
d θεάομαι
e εἴρω inusitatũ.

Gregorius Strategio.

O *quantum inter nos disiuncti sumus, Deo res nostras ita moderante? O sacram domum, & coniugium, & communem omnium eorum, qui Deũ metuunt, portum? Alij bonis nostris fruuntur; mihi autem recordatio sola relicta est, ac Zelotypiæ affectus, aduersum eos, qui ea percipiunt. Vt autem ipse quoq; bonorum nostrorum particeps sis, cumprimis honorandi fratris & compresbyteri nostri Sacerdotis notitiam tibi concilio, quem non dubito, vbi conspexeris,*

xeris, quin illud dicturus sis, Verè omnis boni amator est Gregorius.

Γρηγόριος Μακεδονίῳ.

Οὐκ ἄπληστοι περὶ τὸ πάσχειν εὖ παρὰ τῶν 26.
φίλων ἡμεῖς, εἰ καὶ σὺ πρὸς τὸ ποιεῖν ἄφθονος. Διὰ τοῦτο σοὶ τὸν ψάλτην [a] ὑπεπεμψάμην κατὰ τὰ [b] συγκείμενα, βέλτιστόν τι ἄλλως ὄντα, ὅσον ἐν βραχεῖ χρόνῳ [c] καταμαθεῖν, καὶ σοὶ κεχαρισμένον ἴσως διὰ τὴν ψαλτῳδίαν, ὑπόμνησιν ἔχουσαν ἀεὶ θεοῦ καὶ τῆς σωτηρίας. εἰ δὲ καὶ πάλιν [d] εὐεργετήσεις ἡμᾶς, ἡνίκα ἂν ᾖ τοῦτό σοι φίλον, καὶ καιρὸς φανεῖται, ποιήσεις ἄμεινον. καὶ μᾶλλόν τι τῆς σῆς τοῦτο φιλίας.

a ὑποπέμπω. b σύγκειμαι. c καταμανθάνω. d εὐεργετέω.

Gregorius Macedonio.

Nos in beneficiis ab amicis accipiendis haud quaquam insaturabiles sumus: etsi tu ad beneficia dãda vberrimus & copiosissimus sis. Ac propterea Psalten quoque, vt inter nos conuenerat, ad te remisimus, virum cùm alioqui optimum (quantum breui temporis spatio perspeximus) tum etiam fortasse tibi gratum, propter psalmodiam, Dei, ac salutis memoriam perpetuò refricantem. Quòd si rursum, cùm tibi videbitur, atque occasio se offeret, beneficio nos complectaris, melius facies, idq́; tuo erga nos amori magis consentaneum erit.

Γρηγόριος Σατορνίνῳ.

27. Εἰ καὶ τὸ τῆς ἀρχῆς ὕψος ἀπρόσιτον, ἀλλὰ φιλάνθρωπον ἡ φιλία, δι' ἣν [a] ἐθαῤῥήσαμεν ταύτην σοι [b] προσαγαγεῖν τὴν παράκλησιν. πᾶσιν οἷς εὖ πεποίηκας ἡμᾶς, καὶ τοῦτο [c] πρόσθες. τὸν λογιώτατον υἱὸν ἡμῶν Εὐδόξιον, ἄνδρα καὶ βίῳ καὶ λόγῳ τῆς σῆς ἀρετῆς ἄξιον, καὶ τ' ἄλλα ἡδέως ἰδεῖν [d] καταξίωσον, καὶ τῆς παρὰ σαυτοῦ προστασίας ἀξιῶσαι, περὶ ὧν ἂν δέηται τῆς σῆς καλοκἀγαθίας. ἡμεῖς δὲ [e] ἀντιδώσομεν τὰς εὐχάς. ᾧ μόνῳ δυνατὸν ἡμῖν τοὺς εὐεργέτας ἀμείβεσθαι.

a θαῤῥέω. b προσάγω. c προστίθημι. d καταξιόω. e ἀντιδίδωμι.

Gregorius Saturnino.

ET si imperij fastigium aditum omnem intercludit: at benigna tamen & facilis est amicitia: qua factum est, vt hanc tibi precationem offerre non dubitarim. Ad omnia tua erga me beneficia hunc cumulum adde. Doctissimum ac disertissimum filium nostrum Eudoxium, virum & vita & doctrina, virtute tua dignum, velim libenter videas, ac si qua in re probitatis tuæ ope indiguerit, præsidio tuo digneris. Nos autem preces tibi rependemus: quam vnam gratiam, iis qui benè de nobis merentur, referre possumus.

Γρηγό-

Γρηγόριος Βίκτορι.

Ὄντως νικητὴς σὺ, καὶ διὰ πάντων ἀριστεὺς, ὦ θαυμάσιε. νικῶν γὰρ τοῖς ὅπλοις τοὺς πολεμίους ἕως ἐξῆν, καὶ νῦν πάντας νικᾷς χρηστότητι. Διὰ τοῦτο καὶ τὴν προσηγορίαν ταύτην [a] ἐθαρσήσαμεν προσαγαγεῖν. καὶ μετὰ τῆς προσηγορίας τὸν τιμιώτατον υἱὸν Ὑπερέχιον, ὃν οἶδα ὅτι καὶ διὰ τὸν τρόπον τιμήσεις, εἰ πεῖραν τοῦ ἀνδρὸς λάβοις, καὶ δι' ἡμᾶς, οἷς ἔγνωκας τὰ πάντα χαρίζεσθαι, καὶ θαῤῥεῖν σοι κέλευε, εἰς ὑπόμνημα τῆς ἡμετέρας φιλίας, ἣν ὅσον αἰδῇ πεπείσμεθα. 28.

a θαρσεῖν.

Gregorius Victori.

Verè victor es tu, atq; in omnibus rebus palmam obtines, vir admirande. Nam vt hostes, quandiu licuit, armis vincebas; ita nunc omnes benignitate vincis. ob eamq; causam hanc quoque salutem tibi offerre non dubitauimus, atque cum salutatione charissimum filium Hyperechium. Quem tu & propter morum elegantiam, si ipsius periculum feceris, propter nos, à quibus in omnibus rebus gratiam inire in animum induxisti, honore affecturum esse scio. Quamobrem in amicitiæ nostræ monimentum, quam, quanti facias persuasum habeo, eum fiduciam in te collocare iube.

Γρηγό-

Γρηγόριος Μοδαρίῳ στρατηλάτῃ

περὶ εἰρήνης τῶν ἐκκλησιῶν.

29.

*Ἐπόθουν διὰ πολλοῦ [a] προσειπεῖν σου τὴν ἡμιότητα· καὶ χάρις τῷ Θεῷ [b] δεδωκότι τὴν ἀφορμήν. ζητῶν δὲ ὅπως ἂν [c] ἀμειψαίμην τὸν ἐγχειρίζοντά σοι τὴν ἐπιστολήν, κάλλιστον τοῦτο [d] εὗρον, [e] παραθέσθαι αὐτὸν τῇ σῇ ἐξουσίᾳ. ὃν, μέρος ὂν, καὶ δι' ἡμᾶς ἡδέως ὁρᾶν [f] ἀξίου, ἡμῶν τε ὄντα καὶ σόν, συνοίκον μὲν, ἡμέτερον, στρατιώτην δὲ σόν. λέγω δὲ τὸν νῦν [g] προσιόντα σοι δι' ἡμῶν Θεόδωρον. ὅπως ἂν καὶ αὐτὸς [h] αἴσθηται τῆς τιμῆς, ἣν ἀεὶ τετιμήμεθα παρὰ σοῦ, καὶ ἔτι τιμώμεθα.

* ποθέω.
a προσείπω.
b δίδωμι.
c ἀμείβω.
d εὑρίσκω.
e παρατίθημι.
f ἀξιόω.
g πρόσειμι.
h αἰσθάνομαι.

Gregorius Modario exercitus duci, De Ecclesiarum pace.

PRæstantiam tuam salutandi iam pridem desiderio tenebar. At Deo gratiam habeo, qui huius rei facultatem mihi dedit. Cùm autem, quonam pacto eum, qui tibi hanc epistolam reddit, possem remunerari, mecum exquirerem, hoc inueni, vt eum authoritati tuæ ac potentiæ commendarem. Quem, partim etiam nostra causa velim lubenter videas, vt qui, & noster sit, & item tuus. noster inquam contubernalis. tuus autem miles (de hoc Theodoro loquor, qui nunc per nos ad te accedit:) vt ipse quoque honorem

eum sentiat, quo abs te semper affecti sumus, atque etiamnum afficimur.

Γρηγόριος Ὀλυμπίῳ.

Ὁ μὲν καιρὸς, ὀξύς. ὁ δὲ ἀγὼν, πολύς· ἡ δὲ 30.
νόσος, βαρεῖα, μικροῦ καὶ ἀκινήτους ἡμᾶς
ποιήσασα. τί λοιπόν; ἢ Θεοῦ [a] δεηθῆναι, καὶ τὴν
σὴν [b] ἱκετεῦσαι φιλανθρωπίαν. τὸν μὲν, ἐπὶ νοῦν a δέομαι.
[c] ἀγαγεῖν σοι τὰ χρηστότερα. τὴν δὲ, μὴ τραχέ- b ἱκετεύω.
ως [d] ἀποπέμψασθαι τὴν ἡμετέραν πρεσβείαν, c ἄγω.
ἀλλ' ἡμέρως [e] δέξασθαι τὸν ἄθλιον Παῦλον, ὃν d ἀποπέμπω.
ὑπὸ χεῖρας ἤγαγεν ἡ δίκη τὰς σάς, ἴσως ἵνα σε e δέχομαι.
λαμπρότερον [f] ἐργάσηται τῷ μεγέθει τῆς ἡμερό- f ἐργάζομαι.
τητος, καὶ τὰς ἡμετέρας εὐχὰς, εἴ τινές εἰσι, τῇ
σῇ [g] προξενήσῃ φιλανθρωπίᾳ. g προξενέω

Gregorius Olympio.

Occasio volucris, discrimen ingens: morbus autem grauis atq; eiusmodi, qui vos penè motus omnis expertes reddiderit. Quid restat? nisi vt Deũ orem, tuamq; misericordiam supplex obsecrem, illum nimirum, vt tibi benigniora consilia in mentem immittat, hanc autem, vt ne deprecationem nostram durè atque acerbè reiiciat, verùm leni ac mansueto animo miserum illum Paulum accipiat, quem Deus iustitiæ præses, sub manus tuas duxit, hac fortasse de causa,

caussa, vt te per lenitatis & clementiæ magnitudinem illustriorem reddat, ac nostras ad Deum preces, si quæ sunt, benignitati tuæ conciliet.

Γρηγόριος Γεωργίῳ.

31. Τὸ ἀῤῥωστοῦν θεραπεύεται, ἀλλ' οὐ συντρίβεται. πῶς οὖν ὁ συνδιάκονος ἡμῶν Εὐθάλιος, οὔτε τὸν βαθμὸν [a] αἰδεσθεὶς, οὔτε τὴν οἰκειότητα τιμήσας, δεσμοῖς καὶ πληγαῖς [b] συνέτριψε τὸν ἄθλιον Φιλαδέλφιον, ὡς δείκνυσι καὶ τῶν πληγῶν τὰ σημεῖα. τοῦτο [c] τεθαύμακα. Μὴ τοίνυν παρέργως [d] δέξῃ τὸ [e] γεγονὸς, ἀλλὰ τὸ [f] συμβὰν, [g] ἐλθὼν διὰ σεαυτοῦ, [h] παράστησον ἡμῖν. [i] παρέστω δὲ καὶ ὁ διάκονος, καὶ λόγον [k] ὑφέξων τῆς κατηγορίας, καὶ τύπον [l] ληψόμενος περὶ τῆς οὕτω τριβέντος ζωῆς. Οὐ γὰρ ἀνεχόμεθα τοιαύτην ἀσχημοσύνην τολμᾶσθαι, σχεδὸν ἐν ταῖς ἡμετέραις ὄψεσιν.

a αἰδέομαι
b συντρίβω
c θαυμάζω
d δέχομαι.
e γίνομαι.
f συμβαίνω
g ἔρχομαι.
h παρίστημι.
i πάρειμι.
k ὑπέχω.
l λαμβάνω.

Gregorius Georgio.

QVod ægrum est curari debet, non obteri, atque confringi. Quónam igitur pacto cõdiaconus noster Euthalius, nec gradum veritus, nec propinquitatem ac necessitudinem honore prosecutus, miserum Philadelphium vinculis ac plagis obtriuit, quemadmodum ipse quoq; plagarum notæ indicant? Hoc sanè demiratus sum. Quocirca ne id, quod factum est, susq; deq;

deq́; accipias: verùm quod accidit, ipſemet ad nos profectus, nobis expone. Adſit quoq; Diaconus ipſe, vt criminis, cuius arceſsitur, rationem ſubeat, ac de hominis obtriti vita formam atque exemplum accipiat. Neq; enim tam turpe atque indecorum facinus in noſtris propemodum oculis perpetrari ferre poſſumus.

Γρηγόριος Ἑλλαδίῳ.

32.

[a] Ἥσθην τοῖς γράμμασι. πῶς δὲ οὐκ ἔμελλον, τῷ μνήμην εἶναί σοι καὶ τῶν [b] τεθνηκότων. [c] προσόντων δὲ καὶ τῶν συμβόλων τῆς ἑορτῆς, πλείων ἡ χάρις. ἀλλὰ πρόσθες οἷς δίδως, ἅπερ αἰτεῖς. προσεύχου δὲ περὶ ἡμῶν, εἰ μὲν συμφέρει, πάλιν ἡμᾶς [d] ὑπομνησθῆναι καὶ ὑπομνῆσαι τῆς ἑορτῆς· εἰ δὲ μή, πρὸς τὰ ἐκεῖσε [e] μετατεθῆναι, καὶ τὴν ἀληθῆ ἑορτήν, ἢ [f] λαβεῖν ἢ ἰδεῖν. ἔνθα εὐφραινομένων πάντων ἡ κατοικία. τῶν γὰρ τοῦ βίου στροφῶν [g] κεκορέσμεθα.

a ἥδομαι.
b θνήσκω.
c πρόσειμι.
d ὑπομνάομαι.
e μετατίθημι.
f λαμβάνω.
g κορέω.

Helladio.

*Litteris tuis delectatus ſum. quid ni autem cùm te videam ne mortuorum quidem immemorem eſſe? Quod autem etiam feſti * ſymbola adieceris, maiori voluptate me cumulaſti. Verùm enimuerò ad ea, quæ tribuis, ea, quæ petis, adiunge. Precare pro nobis, vt, ſi*

* Epiſtolas intelligit, quibus, quo die Paſcha celebrandū eſſet, ſignificabatur.

vt, si quidem id conducit; rursus festi submoneamur, vicissimq́ submoneamus: sin secus ad alterius vitæ bona transferamur, ac verum festum, vel capiamus vel videamus, vbi lætantium omnium est habitatio. Strophis enim huius vitæ saturati sumus.

Γρηγορίῳ Νύσσης.

33. Δυσχεραίνεις τῇ περιόδῳ καὶ ἀστατεῖ σεαυτῷ φαίνῃ, καθάπερ τῶν ξύλων ἃ καθ' ὑδάτων φέρεται. μηδαμῶς ὦ θαυμάσιε, μὴ οὕτως ἔχε. τῶν μὲν γὰρ, ἀκούσιος ἡ φορὰ, σοῦ δὲ, κατὰ θεὸν ἡ περίοδος καὶ πάγιον τὸ τοὺς πολλοὺς εὖ ποιεῖν κἂν ἢ μὴ τόπῳ πεπήγοις. εἰ μὴ καὶ τὸν ἥλιον [a] αἰτιῷτό τις, ὅτι περιτρέχει σπείρων τὴν ἀκτῖνα, καὶ πάντα ζωογονῶν ὅσα ἐπέρχεται· ἢ καὶ τῶν ἀστέρων τοὺς ἀπλανεῖς ἐπαινῶν, κακίζῃ τοὺς πλανήτας, ὧν καὶ τὸ πλάνον ἐναρμόνιον.

a αἰτιάομαι.

Gregorio Nysseno.

Locorum circuitu angeris, tibiq́ instabilis esse videris, quemadmodum ligna, quæ aquis feruntur. Absit, vir eximie, absit, vt ita affectus sis. Illorum enim cursus coactus est, tuus autem circuitus Deo gratus & acceptus: fixumq́ tibi ac stabile est multis prodesse, quamuis loco minimè fixus sis. Nisi verò

quis

quis ſolem accuſet, quia in orbem currit, radios fundens, atq; omnibus rebus, quas obit, vitam afferens: aut etiam inerrantes ſtellas laudans; planetas vituperet, quorum error quoque ipſe compoſitus eſt, atq; concinnus.

Γρηγόριος Ἀμφιλοχίῳ.

Ἄρτους μὲν οὐκ [a] ᾐτήσαμεν παρὰ σοῦ, μηδὲ 34.
ὕδωρ παρὰ τῶν ὀστρακίνων [b] οἰκούντων. λά- a αἰτέω.
χανα δὲ εἰ αἰτοίημεν παρὰ ἀνδρὸς ὀζιζαλέως, b οἰκέω.
ὧν ἀφθονία ὑμῖν, παρὰ δὲ ἡμῖν πολλὴ σπάνις,
θαυμαστὸν οὐδὲν, οὐδὲ ἔξω τῆς συνηθείας. καταξίωσον οὖν λάχανα ἡμῖν ἀποστεῖλαι πλεῖστα καὶ κάλλιστα, ἢ ὅσα γε δυνατὸν, ἐπεὶ καὶ τὰ μικρὰ μεγάλα τοῖς πένησιν. ἐπειδὴ καὶ τὸν μέγαν Βασί-
λειον [c] δεξιούμεθα. οὗ μὴ βουληθῇς, ὥσπερ c δεξιόο-
[d] ἐπειράθης κεκορεσμένου φιλοσοφοῦντος, οὕτω μαι.
πειραθῆναι πεινῶντος καὶ δυσχεραίνοντος. d πειράω.

Gregorius Amphilochio.

PAnes à te non poſtulauimus, nec aquam ab iis qui Oſtracinam incolunt. Olera autem ſi à viro Ozizalenſe petierimus, quorum apud vos ſumma copia, apud nos verò magna inopia eſt, nec mirum fuerit, nec à conſuetudine alienum. Ne graueritis itaq; ad nos olera mittere plurima & pulcherrima, aut quan-

quantum certè potueris. nam exigua quoque pauperibus magna sunt. Quandoquidem magnum etiam Basilium cœna accipimus, quem caue, ne quemadmodum saturum philosophantem expertus es, ita etiam esurientem & indignabundum experiaris.

Τῷ αὐτῷ.

35. Ὦ μικρολόγως ἡμῖν ἥκει τὰ λάχανα παρ' ὑμῶν. καὶ τί γὰρ ἄλλο ἢ χρυσολάχανα; καίτοι γε ὁ πᾶς πλοῦτος ὑμῖν κῆποι καὶ ποταμοὶ, καὶ ἄλση καὶ παράδεισοι. καὶ λαχανηφόρος ὑμῖν ἡ χώρα, ὡς χρυσοφόρος ἄλλοις. καὶ λειμώνια φύλλα νέμεσθε. ὁ δὲ σῖτος ὑμῖν, ἡ μυθικὴ μακαρία, καὶ ὁ ἄρτος, ὁ δὴ λέγεται, ἄρτος ἀγγέλων. οὕτως ἄπρατός τε καὶ ἄπιστος. ἢ τοίνυν μεταδίδοτε τούτων ἡ-
a ἀπειλέω. μῖν ἀφθονώτερον, ἢ ἄλλο μὲν οὐδὲν [a] ἀπει-
b ἐπέχω. λήσομεν, τὸν δὲ σῖτον [b] ἐφέξομεν, καὶ [c] εἰσό-
c εἴδω. μεθα, εἰ οὕτως δρόσῳ μόνῃ τρέφονται τέττιγες.

Eidem.

Quàm parcè à vobis ad nos olera veniunt. & quid aliud quàm aurea olera? Atqui omnes vestræ opes in hortis & fluuiis, & nemoribus & pomariis sitæ sunt, & olerifera vobis est regio, quem-

admodum alijs aurifera, pratenſemq́; terram incolitis. At frumentum vobis fabuloſa fœlicitas eſt: & panis, vt dici ſolet, panis angelorum. Ita vobis gratus eſt, ac præter ſpem veſtram fidemq́; venit. Aut igitur olera veſtra copioſius nobis impertite: aut aliud quidem non comminabimur, verùm frumentum noſtrum continebimus, ac ſciemus, num cicadæ reuera ſolo rore alantur.

Γρηγόριος Θεοδώρῳ ἐπισκόπῳ.

Ἑορτὴ καὶ γράμματα, καὶ τὸ κρεῖσσον ὅτι προφθάνεις τὸν καιρὸν τῇ προθυμίᾳ, τὰ προεορτάζειν ἡμῖν χαριζόμενος. τὰ μὲν οὖν παρὰ τῆς σῆς εὐλαβείας, τοιαῦτα· ἡμεῖς δὲ, ὧν ἔχομεν τὸ μεῖζον, ἀντιδίδομεν τὰς εὐχάς. ἵνα δὲ ᾖ καὶ ὑπόμνημα παρ' ἡμῶν ἔχῃς, τὸ δ' αὐτὸ καὶ τοῦ ἁγίου Βασιλείου, πυκτίον [a] ἀπεστάλκαμέν σοι τῆς Ὠριγένους φιλοκαλίας, ἐκλογὰς ἔχον τῶν χρησίμων τοῖς φιλολόγοις. τοῦτο καὶ [b] δέξασθαι καταξίωσον, καὶ ἀπόδειξιν ἡμῖν [c] δοῦναι τῆς ὠφελείας, καὶ σπουδῆς καὶ πνεύματι [d] βοηθούμενος. 36,

a ἀποστέλλω.
b δέχομαι.
c δίδομαι.
d βοηθέω.

Gregorius Theodoro Episcopo.

FEstum quoque literæ ipsæ sunt. Quodq́; præstantius est, animi studio atque alacritate festum anteuertis, illud nobis tribuens, vt festi celebritatem anticipemus. Atque hæc quidem à tua pietate. Nos autem quod omnium maximum habemus; hoc est, preces, tibi viçißim damus. Vt autem aliquid etiam, quod tibi nostri memoriam refricet, à nobis, atque item à S. Basilio, habeas, Philocalia Origenis librum ad te mißimus, earum rerum, quæ litterarum studiosis vtiles sint, collectanea quædam continentem. Hoc munus & accipias velim, & vtilitatis ex eo perceptæ argumentum nobis præbeas, nimirum & à studio & à spiritu adiutus.

Γρηγόριος Εὐδοξίῳ Ῥήτορι.

37. Πάλιν πρός σε Νικόβουλος ὁ ἐμὸς, καὶ πάλιν ἐγὼ περιττὸς μάλα σε σπεύδοντα καὶ αὐτὸν ὀτρύνων. ἐπεὶ δὲ φύσεως μὲν ἔχει δεξιῶς ὁ νέος (εἰ μή με ἀπατᾷ τὸ βούλεσθαι) ὁ δὲ τοῖς εὐφυέσιν, ὡς τὰ πολλὰ [a] συνέζευκται, ῥαθυμότερός πως ἐστὶ. καὶ κέντρων δεόμενος, τὴν παρὰ σεαυτοῦ σπουδὴν [b] ἀντεισένεγκε. καὶ ἵνα τι τῶν ὑμετέρων εἴπω, τὸν μυθικὸν τέττιγα [c] μιμησάμενος, καὶ

a συζεύγνυμαι. b ἀντιφέρω. c μιμέομαι

καὶ ἀντὶ τῆς [d] ῥαγείσης νευρᾶς, ἐν νόμῳ τῷ σῷ γενόμενος, [e] ἀναπλήρωσον τὴν ᾠδήν. οὕτω μοι δοκεῖς εὐδοκιμήσειν τῷ νέῳ, καὶ ἡμῖν [f] χαριεῖσθαι τὰ μέγιστα, οἱ μὴ πολλὰ σοῦ καὶ τῆς σῆς λογιότητος ἔμπροσθεν ἄγομεν.

d ῥήγνυμι. e ἀναπληρόω. f χαρίζεσθαι.

Gregorius Eudoxio Rhetori.

R*Vrsum ad te se confert meus Nicobulus: ac rursum ego superuacaneam operam sumo, qui te sponte tua currentem incitem. Quoniam autem egregia quidem indole est adolescens (nisi me cupiditas fallit) verùm quòd iis, qui eleganti ingenio sunt, persæpè adiunctum est, segnitie quodammodo laborat, calcaribusq́; indiget, studium tuum ac diligentiam oppone. Atque, vt de vestris literis aliquid vsurpem, fabulosam cicadam imitare, ruptaq́; chordà, cantu tuo inchoato, cantilenam exple. Hac ratione, meo quidem iudicio, gloriam ex adolescente consequeris, maximoq́; beneficio nos afficies, qui tibi tuæq́; eruditioni non multa præponimus.*

Γρηγόριος Σταγειρίῳ.

Ἀττικὸς σὺ τὴν παίδευσιν. Ἀττικοὶ καὶ ἡμεῖς. 38.
νέων προκαθέζῃ. πάσης ἡλικίας ἡμεῖς. [a] τυποῖς πρὸς λόγον, ἡμεῖς πρὸς ἦθος. πολλὰ κοινὰ πρὸς ἀλλήλους ἡμῖν. ἓν δὲ αὐτὶ πάντων καὶ πρὸ

a τυπόω.

πάντων, ὁ γλυκύτατος υἱὸς ἡμῶν Νικόβουλος ἐν μέσῳ [b] κείμενος, ᾧ σὺ καλῶς ποιῶν [c] ἐπιδείξῃ καὶ τὴν παίδευσιν, καὶ τὴν ἡμετέραν φιλίαν, εἴπερ σοι μέλει ταύτης, οἶμαι δέ. καὶ γὰρ ἀθληταὶ παλαιοὶ, νέοις τιμῶνται· καὶ τοσοῦτον, ὥστε καὶ τὰ τῆς νίκης ἆθλα προσφέροντες τούτοις, εὐγνώμονες εἶναι νομίζονται περὶ νόμους ἀθλήσεως.

b κεῖμαι.
c ἐπιδείκνυμι.

Gregorius Stagirio.

ERuditione Atticus es: Attici nos quoque. Adolescentibus praes, nos omni ætati. Ad sermonem informas, nos ad mores. Multa nobis inter nos communia sunt. Vnum autem pro omnibus, ac præ omnibus, suauissimus noster filius Nicobulus *in medio positus, cui tu, vt par est, & doctrinam tuam ostendes, & nostram amicitiam, si modò ea tibi curæ est. Est autem, ni opinione fallor. Nam & veteribus athletis à iuuenibus honor habetur, & quidem tantus, vt etiam victoriæ præmia ipsis offerentes, iuxta palestræ leges grati animi officio fungi existimentur.*

Γρηγόριος Γρηγορίῳ.

39. Ἐπέσταλκά σοι καὶ πρώην περὶ Γλυκερίου καὶ τῶν παρθένων. οἱ δὲ, οὐδέπω καὶ τήμερον ἐπανήκασιν. ἀλλ' ἔτι μέλλουσιν οὐκ οἶδα ὅθεν καὶ ὅπως. Οὐ γὰρ ἂν ἐκεῖνός σου [b] καταγνοίην,

b καταγινώσκω.

λω, ὡς ἐφ᾽ ἡμετέρᾳ διαβολῇ τοῦτο ποιεῖς, ἢ αὐτὸς
πάσχων τι πρὸς ἡμᾶς, ἢ ἄλλοις χαριζόμενος.
Ἡκέτωσαν οὖν μηδὲν [c] δεδοικότες, σὺ [d] γοῦν τούτου c δείδω.
ἐγγυητής. καὶ γὰρ [e] ἀλγοῦμεν τεμνόμενοι τῶν d γίνομαι.
μελῶν, εἰ καὶ κακῶς [f] ἐτμήθησαν. εἰ δὲ ἀντι- e ἀλγέω.
τείνοιεν, ἐπ᾽ ἄλλους τὸ βάρος. ἡμεῖς δὲ ἀπο- f τέμνω.
πλυνόμεθα.

Gregorius Gregorio.

DE Glycerio & virginibus ad te nuper ſcripſi. At illi ne ad hunc quidem vſq; diem redierunt: verum adhuc morantur, qua de cauſa neſcio. Neque enim adduci queam vt hoc exiſtimem, te, vt nos hinc calumniam contrahamus, hoc facere, vel quia offenſionis aliquid in nos conceperis, vel, vt gratiam ab aliis ineas. Veniant igitur, omni metu poſito. De hac re velim te ſponſorem interponas. Dolore enim afficimur, membris truncati: etiamſi alioqui male præciſa ſunt. Quod ſi contra pugnant, ad alios onus deuoluetur: nos autem manus abluimus.

Ἀνεπίγραφος.

Πῶς σοι τὰ τῆς ἀρετῆς ἔχει; καὶ εἰ κατὰ θεόν τι 40.
[a] προσεληλύθαμεν; ὃ παντός σε μᾶλλον ἐρωτᾶν a προσέρ-
ἁρμόζειν ὑπολαμβάνομεν. ταῦτα γὰρ ἡμῖν φί- χομαι.
λον καὶ ἀνερωτᾶν καὶ ἀκούειν. τὰ δὲ ἄλλα, χαί-

b ἐάω. ρειν [b] ἐάσωμεν, ὅπως ἂν ἔχῃ. καίτοι κἂν εἰ βουλοίμεθα, καὶ ταῦτα δεξιῶς ἔχειν, δι' ἓν τοῦτο βουλοίμεθ' ἄν, ἵνα ἔχῃς ὧν ὑπερεῖδες, καὶ πλείω φι-
c προσερέομαι. λοσοφῇς ἐπὶ μείζοσι. ταῦτα καὶ [c] προσείρησο παρ' ἐμοῦ, καὶ τῷ καλῷ Νικοβούλῳ γενοῦ τοιοῦτος, οἷον ἐλπίζομεν. ἂν δὲ καὶ πλέον αἰτῶμεν,
d κορέω. τὴν ἀπληστίαν ἡμῶν, ὡς φιλότιμος, [d] κόρεσον.

Inſcriptione caret.

QVónam pacto virtus tua ſe habet? nunquid, quantum ad Deum attinet, progreſſus fecimus? quod quidem, meo iudicio, potiùs quàm quiduis aliud, ex te perſcrutari conuenit. Nam hæc ſunt, quæ lubenter ſciſcitari atq; audire ſolemus. Cætera, quoquo modo ſe habeant, valere ſinemus. Quanquam vt etiam ea te proſpera habere cupiamus, hoc vno nomine cupiamus, vt habeas quæ contempſiſti, ampliusq́; ob ampliora philoſopheris. Hæc & ſalutationis cauſa à nobis accipe: & egregio adoleſcenti Nicobulo talem te præbe, qualem ſperamus. Quòd ſi plus etiam poſtulemus, nimiam noſtram cupiditatem, vt liberalis & munificus, exple.

Γρηγό-

Γρηγόριος Μεγάλῳ Βασιλείῳ.

Τοῦ [a] πληρωθῆναί σοι τὸ ἐπίταγμα, τὸ μὲν 41.
ἐστὶν ἐφ' ἡμῖν, τὸ δέ γε, καὶ οἶμαι τὸ πλέον, a πληρόομαι.
ἐπὶ τῇ σῇ εὐλαβείᾳ. ἐφ' ἡμῖν μὲν τὸ τῆς ὁρμῆς
καὶ τῆς προθυμίας (οὔτε γὰρ ἄλλοτέ ποτε τὴν σὴν
συντυχίαν ἐφύγομεν, ἀλλ' ἀεὶ ταύτην διώκομεν,
καὶ νῦν ταύτην πλέον [b] ποθοῦμεν) ἐπὶ δὲ τῇ b ποθέω.
σῇ ὁσιότητι, τὸ [c] διορθωθῆναι τὰ ἡμέτερα. c διορθόομαι.
[d] προσεδρεύομεν γὰρ τῇ κυρίᾳ τῇ μητρὶ πολὺν
ἤδη [e] καμούσῃ χρόνον ἐξ ἀρρωστίας. καὶ εἰ μὴ d προσεδρεύω.
μέλλοιμεν ἀμφιβόλως αὐτὴν [f] καταλείψειν,
οὐ [g] ζημιωθησόμεθα, σὺ [h] ἴσθι, τὴν παρουσίαν. μό- e κάμνω.
νον ταῖς εὐχαῖς, τῇ μὲν πρὸς τὴν ὑγείαν, ἡμῖν f καταλείπω.
δὲ πρὸς τὴν ὁδὸν [i] ἐπικούρησον. g ζημιόομαι.

Gregorius Baſilio Magno. h ἴσημι.

VT expleatur quod iubes, partim in nobis ſitum i ἐπικουρέω
eſt, partim autem, & quidem potiſſimùm, vt opinor, in tua pietate. In nobis quidem, cupiditas animiq́ promptitudo (nam nec aliâs vnquam congreſſum tuum deſugimus, verùm eum ſemper conſectamur: & nunc eum cupidius appetimus) in tua autem ſanctitate, vt res noſtræ melius conſtituantur. Aſsidemus enim Dominæ matri, graui iam pridem morbo laboranti. Quam ſi non dubio & ancipiti

statu relicturi sumus, tua præsentia, mihi crede, haudquaquam carebimus. Illud modò tibi curæ sit, vt precibus tuis ipsi quidem ad sanitatem, nobis autem, ad iter opem feras.

Γρηγόριος τῷ Μεγάλῳ Βασιλείῳ.

42. Ἐπαινῶ σου τῆς ἐπιστολῆς τὸ προοίμιον. τί δὲ τῶν
a ἁλίσκομαι. σῶν οὐκ ἐπαινετόν; καὶ σὺ [a] ἑάλως ὥσπερ καὶ ἡ-
μεῖς γεγραφότες. ἐπειδή γε εἰς τὸν πρεσβυτέρου
b βιάζομαι βαθμὸν [b] ἐβιάσθημεν. καίτοι γε, οὐ τοῦτο ἡμῖν ἐσπου-
c εἰμί. δάζετο. ἀλλήλοις γὰρ [c] ἐσμὲν, εἴπερ ἄλλοι τινὲς ἀ-
ξιόπιστοι μάρτυρες τοῦ τὴν πεζὴν στέργειν φιλοσο-
φίαν, καὶ κάτω μένουσαν. ἀλλὰ τοῦτο μὲν μὴ γενέ-
σθαι μὲν, ἴσως ἄμεινον ἦν. ἢ οὐκ οἶδ᾽ ὅ,τι καὶ φῶ,
d φημί. [d] ἕως [e] γνῶ τὴν οἰκονομίαν τοῦ πνεύματος. ἐπεὶ
e γινώσκω. δὲ ἐγένετο, φέρειν ἀνάγκη, ὡς γοῦν ἐμοὶ κατα-
φαίνεται, καὶ μάλιστα διὰ τὸν καιρὸν, πολλὰς ἡ-
μῖν αἱρετικῶν ἐπεισάγοντα γλώσσας, καὶ μὴ κα-
f πιστεύω. ταισχύνειν, μήτε τὰς τῶν [f] πεπιστευκότων ἐλπί-
δας, μήτε τὸν ἡμέτερον βίον.

Gregorius Basilio Magno.

Epistolæ tuæ proœmium laudo. Quid autem tuorum non est laudandum? Ac tu captus es, quemadmodum nos quoq; circumscripti: quandoquidem ad Presbyteri gradum pertracti sumus. Nec enim id à

nobis expetebatur. Nam vterque alteri, si alij quiquam locupletes esse testes possumus, quam nobis cordi esset vita priuata, pedestris philosophia, humiq; depressa. Verùm hoc non fieri fortasse quidem præstitisset (aut quo alio verbo vtar, incertus sum, quo adusque Spiritus sancti consilium exploratum habuero.) Quoniam autem factum est, ferre necesse est, vt mihi quidem videtur, ac præsertim ob tempus istud, quod multas nobis hæreticorum linguas inuehit; nec aut spei eorum, qui fidem nobis habuerunt, aut superiori vitæ nostræ dedecori esse.

Γρηγόριος Εὐδοξίῳ Ῥήτορι.

Ἐρωτᾷς πῶς τὰ ἡμέτερα; καὶ λίαν πικρῶς. Βα- 43.
σίλειον οὐκ ἔχω, καισάριον οὐκ ἔχω, τὸν πνευματικὸν ἀδελφὸν καὶ τὸν σωματικόν. ὁ πατήρ μου καὶ ἡ μήτηρ μου [a] ἐγκατέλιπόν ωμε μετὰ τοῦ δαβὶδ φθέγγομαι. τὰ τοῦ σώματος πονηρῶς ἔχει, τὸ γῆρας ὑπὲρ κεφαλῆς, φροντίδων ἐπιπλοκαὶ, πραγμάτων ἐπιδρομαὶ, τὰ τῶν φίλων ἄπιστα, τὰ δὲ ἐκκλησίας ἀποίμαντα. ἔρρει τὰ καλὰ, γυμνὰ τὰ κακὰ, ὁ πλοῦς ἐν τῇ νυκτί. πυρσὸς οὐδαμοῦ, χριστὸς καθεύδει. τί χρὴ παθεῖν; μία μοι τῶν κακῶν ἡ λύσις ὁ θάνατος. καὶ τὰ ἐκεῖθέν μοι φοβερὰ, τοῖς ἐντεῦθεν τεκμαιρομένῳ.

[a] ἐγκαλαλείπω.

Grego-

Gregorius Eudoxio Rhetori.

QVæris quo statu res nostræ sint? Admodum acerbo. Basilium non habeo, hoc est, spiritualem fratrem, & corporeũ. Pater meus & mater mea dereliquerunt me, vt cum Dauide loquar. Corpus ægrum est, senectus caput premit, curæ aliæ aliis intexuntur, incursant negocia, infidi amici, Ecclesiæ res pastore & gubernatore carent. Pereunt bona: nuda & aperta sunt mala: nauigatio in nocte, fax nusquam, Christus dormit. Quid faciam? Vna mihi malorum depulsio, mors. Ac res etiam alterius vitæ mihi formidulosæ sunt, ex huius vitæ rebus coniecturam ducenti.

Τῷ αὐτῷ.

44. Πῶς ἔχει σοι τὰ τοῦ σώματος; ἢ δηλονότι βρα-
a ἔρομαι. χὺς ὁ λόγος ὅπως ἂν ἔχῃ; περὶ δὲ τῆς ψυ-
χῆς οὐκ [a] ἐρήσομαι πῶς. οἶδα γὰρ ὅτι καὶ λίαν
καλῶς, ἐπειδὴ γενναίως ἐμφιλοσοφεῖς τοῖς τοῦ
σώματος, ὥσπερ βάσανον ἀρετῆς, ἀλλ' οὐχ ὕ-
b δέχομαι. λης ἀνωμαλίαν τὸ πρᾶγμα [b] δεξάμενος, ἵ-
c εἰμί. να [c] ᾖ σοι τὸ κακοπαθεῖν, τῆς τῶν ἄλλων ὑ-
d δίδωμι. γιείας μακαριώτερον. [d] δίδως καὶ ταύτην ἱ-
κανὴν τῆς φιλοσοφίας ἀπόδειξιν, τὸ τοιαῦτα
καὶ περὶ τούτων ἐπιστέλλειν ἡμῖν ἃ κἂν ἄλλοις
θαρρῶμεν γράφειν, ἀλλά τό γε ὑπὸ σοὶ κριτῇ
κιν-

κινδυνεύειν οὐκ ἀσφαλές. [c] πειρασόμεθα δ' ὅμως, μὴ ἀντιλέγειν κελεύοντι. c πειράομαι

Eidem.

Quomodo se habet corporis valetudo? An scilicet parum tibi curæ est, quomodo se habeat? De anima autem haud percunctabor ecqui valeat: scio enim bellissimè valere, quandoquidem in corporis morbo strenuè philosopharis, quasi non materiæ & humorum intemperiem, sed virtutis explorationem eam rem acceperis: vt sic calamitas tua aliorum sanitate & incolumitate beatior sit. Tu verò hoc quoque philosophiæ argumentum ede, ut nobis easdem res, ac de iisdem præcipias: quas tametsi aliis scribere audeamus, tamen te iudice causam dicere ac iudicium subire, periculo non vacat. Cæterùm conabimur tuis iussis minimè reluctari.

Γρηγόριος Κάστορι.

Ἐμοὶ τῆς πατρίδος ὡς [a] ἔοικεν, ἡ ἀλλοδαπὴ 45.
χρηστοτέρα. ἡ μὲν γὰρ ἐδίδου τῆς σῆς ἀπολαβεῖν a εἴκω.
φιλίας; ἡ δὲ, οὐδὲν τοιοῦτον ἡμῖν [b] ἐχαρίσατο.
καὶ τοῦτό μοι παρὰ τῆς ἀρρωστίας, ἥ με κατέχει b χαρίζομαι.
[c] πεδήσασα, καὶ πρὸς πολλὰ ποιεῖ δυσκίνητον
ἢ ἀκίνητον, εἰ χρὴ λέγειν τὸ ἀληθέστερον. ταύτην c πεδάω.
μὲν οὖν τὴν ζημίαν λυπούμενοι [d] οἰσόμεν, τί δὲ οὐ d φέρω.

φέρει

φέρει ἀνιαρῶν ἄνθρωπος· μόνον ὑγιαίνοις καὶ πράττοις κατὰ νοῦν, καὶ ἐν χερσὶ θεοῦ εἴη τὰ σά. ἔσται δὲ, εἰ γνησίως αὐτοῦ λαμβάνοιο. τὴν δὲ κυρίαν, τὴν κοινὴν ἡμῶν ἀδελφὴν, τάχιστα ἡμῖν [e] ἀποπέμψαι [f] θέλησον, ὡς κοινὸν ἔρεισμα καὶ τῶν εὐλαβῶν, καὶ τῆς ἀσθενείας τῆς ἡμετέρας.

e ἀποπέμπω.
f θέλω.

Gregorius Castori.

Mihi, vt apparet, benigniorem se præbebat extera regio, quàm patria. Nam illa hoc mihi dabat, vt amicitia tua fruerer: hæc autem nihil huiusmodi nobis concessit. Atq; hoc mihi morbus attulit, qui me velut pedibus deuinctum tenet, atq; ad multa torpidum, aut etiam, si verius loquendum est, planè immobilem reddit. Sed enim hoc detrimentum, mæstò licet animo, feremus. quid autem molestiarum est, quod homo non ferat? Tantum valeas ipse, tibiq; omnia ex sententia cedant, ac res tuæ in manu Dei sint. Erunt autem, si animo syncero eum prehendas. Dominam autem, communem nostram sororem, velim quàm ocyssimè ad nos remittas; vt & communem piorum omnium & nostræ infirmitatis subsidium.

Γρηγόριος Πανσοφίῳ.

Τίς οὐκ ἐπαινεῖ φυτὸν ἄρτι βρύον τοῖς ἄνθεσι;
46. τίνα οὐκ εὐφραίνει λήϊον, ἄρτι [a] δεσμούμενον, καὶ στάχυν ὡραῖον [b] ὑπισχνούμενον; τίνα δὲ οὐ νεοτ-

a δεσμέω.
b ὑπισχνέομαι.

νεοτελὴς ψυχὴ ἄρτι θεῷ [c] κοσμουμένη, καὶ τὰς χοϊ- c κοσμέω.
κὰς ἀποσείεσθαι πέδας ἀρχομένη, ἵνα μετὰ θεοῦ
γένηται, καὶ [d] ἴδῃ τὴν ἀλήθειαν, ὧν νῦν ὁρᾷ τὰς σκι- d εἴδω.
άς. χαίρω μὲν οὖν διὰ ταῦτα διαφερόντως τῷ ἀ-
γαπητῷ ἀδελφῷ καὶ συνδιακόνῳ ἡμῶν Εὐαγρίῳ,
οὐκ ἀγεννῶς αὐτὸν ὁρῶν φιλοσοφίᾳ προσβαί-
νοντα, ἐπειδὴ ἡ φιλοσοφία καὶ τὸ σοφίας
ἐρᾶν. χαίρω δὲ ὅτι μοι καὶ τὴν σὴν προξε-
νεῖ φιλίαν, καὶ ἔτι [e] χαρήσομαι, ἐὰν ἐπιστέλλῃς e χαίρω.
πλείονα, καὶ πλείοσιν ἡμᾶς ἀμείβοιο τῆς φιλίας
γνωρίσμασιν.

Panſophio.

Qvis ſtirpem iam floribus abundantem non laudat? Quem non oblectat ſeges, cùm iam ligatur, ac maturam ſpicam pollicetur? Quem item lætitia non afficit anima recens initiata, iam Deo coronata, & terrenas compedes excutere incipiens, vt Deo ſe adiungat, earumq́; rerum, quarum nunc vmbras duntaxat cernit, veritatem conſpiciat? His nimirùm de cauſis chariſsimo fratre ac comminiſtro noſtro Euagrio maiorem in modum delector, eum ad philoſophiã haud ignauo animo aſcendentem cernens, quãdoquidem philoſophia quoq; eſt, ſapientiæ amore teneri. Quin hoc quoq; nomine lætor, quòd mihi tuam amicitiam cõciliat, Atq; impenſiùs adhuc lætabor, ſi plures ad nos literas des, ac plura amicitiæ ſigna nobis rependas.

Γρηγό-

Γρηγόριος Ἀλυπίῳ.

47. Πρώτην σοι ταύτην καὶ ἐπιστολὴν γράφω, καὶ προσάγω πρεσβείαν. ὥστε δίκαιος ἂν εἴην καὶ κατὰ τοῦτο τυχεῖν σου περὶ ὧν ἐπαγγέλλω. ἐπαγγέλλω δὲ τί; Σπαράσσει τὴν ἡτέραν οἰκίαν τὴν παρ' ὑμῖν, ὡς πυνθάνομαι, βιαίοις ἐφόδοις ὁ καλὸς παλλάδιος, ὁ δὲ [a] βοηθήσων οὐδείς. καλὸν οὖν ἐστί σοι μάλιστα μὲν καὶ παρόντος, κήδεσθαι τοῦ ἀνδρὸς, πολλῷ δὲ πλέον ἀπόντος; ὡς ἂν μὴ παντάπασιν [b] οἰχήσηται διαφθαρέντα καὶ διαῤῥυέντα τὰ πράγματα, κατὰ πολλὴν τοῦ [c] κωλύσοντος ἐρημίαν.

a βοηθέω.
b οἴχομαι.
c κωλύω.

Alypio.

Primam tibi hanc, & epistolam scribo, & deprecationem offero. Eoq́ etiam nomine me ea, de quibus narras abs te consequi æquum fuerit. Quid autem narro? Domum nostram, quæ apud vos est, violentis, vt audio, incursibus dilaniat bellus ille Palladius, nec, qui succurrat, vllus est. Rectè igitur feceris, si ipsius, non modò præsentis, sed multò etiam magis absentis, curam gesseris: vt ne, propterea quòd desint, qui iniuriam probibeant, res omnino labefactatæ atque collapsæ intereant.

Γρηγόριος Εὐσεβίῳ ἐπισκόπῳ Καισαρείας.

Οὐχ ὑβριστικῶς [a] ἐπέστειλα μᾶλλον, ὥσπερ 48.
[b] ἐμέμψω τῆς ἐπιστολῆς, ἢ πνευματικῶς τε a ἐπιστέλλω
καὶ φιλοσόφως, καὶ ὡς εἰκὸς ἦν. εἰ μὴ καὶ τοῦτο b μέμφο-
λυπεῖ τὸν λογιώτατον Εὐσέβιον. εἰ γὰρ εἰ τῷ βαθ- μαι.
μῷ κρατεῖς, ἀλλὰ δώσεις καὶ ἡμῖν ἐλευθερίας
καὶ παρρησίας δικαίας. καὶ διὰ τοῦτο [c] ἔσο ἡμῖν c εἰμί.
χρηστότερος. πλὴν εἰ κρίνεις τὴν ἐπιστολὴν ὡς
οἰκέτου, καὶ οὐδὲ ἀντιβλέπειν ὀφείλοντος, οὕτω
δὴ καὶ πληγὰς [d] ληψόμεθα, καὶ οὐδὲ [e] δακρύ- d λαμβά-
σομεν. ἢ τοῦτο [f] ἐγκληθησόμεθα, ὃ πάντας μᾶλ- νω.
λον, ἢ τὴν σὴν εὐλάβειαν [g] παθεῖν ἄξιον. ἔστι e δακρύω.
γὰρ ἀνδρὸς μεγαλόφρονος φίλων ἀποδέχεσθαι f ἐγκαλέο-
μᾶλλον ἐλευθερίαν, ἢ ἐχθρῶν κολακείαν. μαι.
g πάσχω.

Euſebio Cæſarienſi Epiſcopo.

Non contumelioſè potiùs atq; inſolenter, quemadmodum tu de epiſtola noſtra quereris, quàm ſpiritualiter ac philoſophicè, atque, vt conſentaneum erat, ſcripſi (niſi hoc quoq; diſertiſſimum Euſebium malè habet.) Et ſi enim dignitatis gradu ſuperas: at nobis tamen aliquid iuſtæ libertatis ac licētiæ dabis.

Ac propterea benigniorem te nobis præbe. Sin tu epistolam nostram; tanquam famuli, atque eius hominis, qui te ne obtueri quidem habeat, sic etiam plagas accipiemus, ac ne lachrymas quidem emittemus. An hoc quoque nobis crimini dabitur? id certè cuius potiùs, quam pietati tuæ, accidere conuenit. Est enim hominis animi magnitudine præditi, amicorum potiùs libertatem, quam inimicorum blanditias amplecti.

Γρηγόριος Θέκλῃ.

Τὴν μακρὰν σου προσθήκην τοῦ γράμματος,
49. ὡς μεγάλην ἐπιστολὴν [a] ἐδεξάμην. ἐμοῦ
a δέχομαι. γὰρ ὑμεῖς, καὶ ὑμῶν ἐγώ, τοῦ πνεύματος οὕτως ἡ-
b εἴδω. μᾶς ἁρμόζοντος. τοῦτο [b] εἰδότες, καὶ εὔχεσθε
ὑπὲρ ἡμῶν, καὶ περὶ πάντων θαῤῥεῖτε, ὡς οὐδένας
γνησιωτέρους ἡμῶν εὑρίσκοντες, οὐδὲ μᾶλλον τὰ
c κοινόομαι ὑμέτερα [c] κοινουμένους, εἰ καὶ μήπω, μήτε συνήθεια
πολλή, μήτε πεῖρα τοῦτο ἐδίδαξε. περὶ δὲ τῶν
λυπηρῶν τί χρὴ γράφειν, ἢ ὅτι βουλόμεθα τῆς ἄ-
κρας φιλοσοφίας καιρὸν τοῦτο νομίσαντες, ἐγ-
καρτερεῖν τοῖς πάθεσι καὶ οὕτως ἀγωνίζεσθαι πρὸς
τοὺς [d] λυποῦντας, ἐπειδήγε ἄλλως οὔτε
d λυπέω. δυνατὸν, οὔτε ὅσιον.

Gregorius Theclæ.

EXiguum tuum literarum additamentum vt ingentem epistolam accepi. Nam & vos nostri, & nos vestri sumus, Spiritu nimirum nos ad hunc modum copulante. Quod cum vobis exploratum sit, & pro nobis preces ad Deum adhibete, & de omnibus rebus magno animo estote, ac de nobis illud persuasum habetote, quòd nullos vnquam, qui synceriore erga vos animo sint, nec qui magis res vestras communes sibi esse ducant, reperietis. etiamsi alioqui hoc nec longa consuetudo & familiaritas, nec experientia testatum fecit. De iis autem rebus, quæ vos molestia afficiunt, quid aliud scribere attinet, quàm quod vos ita comparatos esse volo, vt summæ philosophiæ tempus hoc esse existimantes, in calamitatibus fortem ac tolerantem animum præstetis, atque ita cum iis, qui vobis mærorem inferunt, decertetis, quandoquidem aliâs nec fieri potest, nec fas est.

Γρηγόριος Εὐστοχίῳ Σοφιστῇ.

[a]Μίμησαί μοι τὸν Ἀλέξανδρον, ὦ θαυμάσιε, 50.
καὶ ὥσπερ ἐκεῖνος, ἐν Ἀθηναίοις [b] ἀρέσῃ, φιλοτιμούμενος ἦν, ταύτῃ τοι καὶ θεάτρον ἀεὶ τῆς αὐτοῦ βασιλείας τὰς Ἀθήνας ὠνόμαζεν, οὕτω καὶ σὺ τὸ καθ' ἡμᾶς εἶναί τι νομίσας, εἰ

a μιμέομαι.
b ἀρέσκω.

καὶ μηδαμῆ, ἀλλ' ἢ τῶν αὐτοῦ λόγων εἵνεκα καὶ τῶν Ἀθηνῶν αὐτῶν, πρὸς δὲ καὶ τοὺς κοινοὺς πατέρας τῶν λόγων αἰδούμενος, διπλασιάσαι
c προθυμέομαι. [c] προθυμήθητι τῷ καλῷ Προνοίῳ τὴν περὶ λόγους σπουδήν. πάντως ὅ, τι ἂν [d] εἰσενέγκῃς τῷ
d εἰσφέρω. νέῳ, ἡμῖν τοῦτο εἰσοίσεις, οἳ καὶ παθεῖν εὖ ἐπιτήδειοι, καὶ λόγων ἀπαινέται ἴσως οὐ φαῦλοι, εἰ
e κάθημαι. καὶ κατωτέρω Σοφιστικῶν θρόνων [e] καθήμεθα, σιωπῆς ἀκίνδυνον γέρας, ἡμῖν αὐτοῖς ἐπιτάξαντες.

Gregorius Eustochio Sophistæ.

FAc Alexādrum imiteris, vir admirande, ac quemadmodum ille, Athenienſibus placere ſtudens, proptereà regni ſui theatrum Athenas appellabat, eodem modo tu quoque nos aliquid eſſe arbitratus, quàmuis nihil ſimus, tamen propter idem literarum ſtudium, & propter ipſas Athenas, ac prætereà communes eloquentiæ parentes veritus, da operam vt præclaro iuueni Pronoio literarum ac doctrinæ ſtudium conduplices. Omnino id quod in adoleſcentem contuleris, in nos conferes, qui & ad accipiendum beneficium idonei ſumus, & orationum haud mali fortaſſe, atque contemnendi laudatores; etiam ſi infra Sophiſticos thronos deſideamus, quod videlicet periculo vacuum ſilentij munus nobis ipſis indixerimus.

Γρηγό-

Γρηγόριος Φωτίῳ.

[a] Αἰτιᾷ τὸ μὴ γράφειν, οὐδὲ αὐτὸς ὢν, οἶμαι, τῶν πλείστων ἐπεσταλκότων, εἰ μή γε ἡ νόσος λῆρον ποιεῖ, καὶ ὧν εὖ [b] πέπονθα ἐπιλήσμονα. καίτοι γε εἰ μή τι ἄλλο, ὡς [c] ἀποθανοῦσιν ἡμῖν παρὰ τῶν σῶν λόγων ὠφείλετο ἐπιτάφιος, ᾧ τέχνη τὸ λέγειν καὶ γράφειν. Ὁ μὲν οὖν ἔλεγχος, οὗτος. οὐδὲ γὰρ δεῖ φιλικῶς [d] ἐγκαλοῦντας, ἔξω τῶν τῆς φιλίας ὅρων τοῦτο ποιεῖν. Ἃ δὲ περὶ τοῦ γλυκυτάτου υἱοῦ Νικοβούλου γράφεις, μεγάλα μὲν σφόδρα καὶ ἱκανὰ καὶ θαυμαστὰ [e] συναρπάσαι πατρὸς εὐκολίαν, ῥᾳδίως, οἷς βούλεται, καὶ πιστεύουσαν. τότε δὲ ἀληθῆ εἶναι δεξόμεθα, ὅταν πεῖραν διδοὺς ἡμῖν ὁ νέος, μὴ ἀνάξιος [f] φανῆται, ἢ τῶν σῶν ὑποσχέσεων, ἢ τῶν ἡμετέρων ἐλπίδων.

51.
a αἰτιάομαι.
b πάσχω.
c ἀποθνήσκω.
d ἐγκαλέω.
e συναρπάζω.
f φαίνομαι

Gregorius Photio.

Quòd non ſcribam, expoſtulas, cùm ipſe, vt puto, non multas literas miſeris, niſi fortè me morbus delirum reddit, acceptorumq́; beneficiorum immemorem. Atqui ſi nihil aliud, certè nobis, vt morte functis, oratio funebris abs te, cuius ars in declamãdo ac ſcribendo ſita eſt, debebatur. Atq; hic arguendi finis ſit. Neq; enim, cùm amicè accuſemus, id vltra ami-

amicitiæ limites facere conuenit. Quæ autem de suauissimo filio Nicobulo scribis, magna quidem, admodum, & miranda sunt, atque eiusmodi, quæ patris facilitatem, iis rebus, quas vult, fidem facilè adhibentem abripere queant: nos autem tum denique vera ea esse credemus, cùm adolescens, documento nobis præbito, nec tuis promissis, nec nostra spe indignũ se præbuerit.

Γρηγόριος Ἀστερίῳ.

52. Τί τοῦτο πάσχομεν; οἴχεσθε [a] καταλιπόντες ἡμᾶς, καὶ ἡμεῖς [b] ἀῤῥωστοῦμεν, οὐδὲ τοσοῦτον παρὰ τοῦ φθόνου [c] συγχωρηθέντες, ὅσον ἐφ' ἡμῖν τὰ προπεμπτήρια [d] φθέγξασθαι. ὢ τῆς ζημίας. τί λαμβάνειν ἔδει τὸ ἀγαθὸν, εἰ μὴ παραμένειν ἔμελλεν. οὐ γὰρ τοσοῦτον εὐφραίνει παρὸν τῶν τερπνῶν οὐδὲν, ὅσον ἀνιᾷ χωριζόμενον. τετιμήμεθα παρ' ὑμῶν, [e] δεδοξάσμεθα, τῆς δεχῆς [f] ἀπελαύσαμεν, τῆς φιλανθρωπίας [g] ἐνεφορήθημεν. οὔτε γὰρ [h] ἐπιλελήσμεθα τούτων, οὔτε ἐπιλησόμεθα, πρότερον ἡμῶν αὐτῶν, ἢ ὑμῶν. τί δὲ παρ' ἡμῶν ἀντὶ τούτων, ὑμῖν; τί δ' ἄλλο γε, ἢ ὧν ἔχομεν τὸ κάλλιστον. ἔχομεν δὲ τὰς εὐχὰς αἷς σώζοισθε, καὶ [i] εὐδοκιμοίητε. καὶ πάλιν ἡμῖν [k] ὀφθείητε, ἂν ἄρα τοσαύτης [l] τύχωμεν τοῦ ζῆν προθεσμίας.

a καταλείπω.
b ἀῤῥωστέω
c συγχωρέομαι.
d φθέγγομαι.
e δοξάζομαι.
f ἀπολαύω
g ἐμφορέομαι.
h λανθάνομαι.
i εὐδοκιμέομαι.
k ὄπτομαι.
l τυγχάνω

Asterio.

Quidnam hoc est, quod nobis accidit? Relicti nobis abscedits: ac nos morbo laboramus. Nec liuor nobis tantum spatij concessit, vt discessum vestrum oratione prosequeremur. O graue detrimentum? Quid bonum capere attinebat, si permansurum non erat? Nec enim res vlla iucunda tantum voluptatis affert, cùm adest, quantum mæroris, cùm abscedit. Honore à vobis gloriaque affecti sumus, fructum ex imperio & magistratu vestro cepimus, amicitia expleti sumus. Nec enim hæc obliti sumus nec obliuiscemur: priusque nostri quàm vestri memoria nobis elabetur. Quidnam autem pro his rebus vobis beneficij rependemus? Quid aliud quàm quòd omnium præclarissimum habemus? preces autem habemus, quibus vtinam salus vobis & gloria comparetur. Faxitque Deus, vt à nobis rursum videamini: si modò nobis tandiu vitæ vsura concedatur.

Γρηγόριος Γρηγορίῳ Ἐπισκόπῳ.

Καὶ μένων [a] συνεκδημῶ, διὰ τῆς ἀγάπης, ὑμῖν. πάντα γὰρ ὁ πόθος κοινοποιεῖ τὰ ἡμέτερα. καὶ πολλὰς ἐλπίδας ἔχω, τῇ τοῦ θεοῦ φιλανθρωπίᾳ θαῤῥῶν, καὶ ταῖς ὑμετέραις εὐχαῖς, 53.

a συνεκδημέω.

ὅτι

b ἐκβαίνω. ὅτι πάντα κατὰ νῦν ἡμῖν [b] ἐκβήσεται, καὶ ἡ καταιγὶς εἰς αὔραν [c] λυθήσεται, καὶ τοῦτον ὑμῖν ὁ θεὸς τῆς ὀρθοδοξίας δώσει μισθὸν, τὸ τοὺς ἐπηρεάζοντας [d] ὑπερσχεῖν. μάλιστα μὲν οὖν ἴδοιμεν ὑμᾶς ἐν τάχει καὶ ἀπολάβοιμεν, ὡς εὐχόμεθα. εἰ δὲ χρονίζοιτε, τῶν πραγμάτων οὕτως ἐχόντων, γράμμασι γοῦν εὐφραίνειν ἡμᾶς μὴ [e] ἀπαξιοῦτε δηλοῦσι τὰ ὑμέτερα, καὶ προσεύχεσθε τὰ συνήθη ὑπὲρ ἡμῶν. [f] ἐῤῥωμένους ὑμᾶς, καὶ τοῖς πᾶσιν εὐθύμους ὁ ἀγαθὸς θεὸς [g] χαρίσεται τῆς ἐκκλησίας τὸ κοινὸν ἔρεισμα.

c λύομαι.

d ὑπερσχέω.

e ἀπαξιόω

f ῥώννυμαι

g χαρίζομαι.

Gregorius Gregorio Episcopo.

Qvamuis domi maneam, per charitatem tamen vobiscum peregrinor. Amor enim nostra omnia communia efficit. Atq; Dei benignitate vestrisq; precibus fretus, magnam spem habeo fore, vt omnia nobis ex animi sententia eueniant, ac tempestas in auram soluatur, vobisq; Deus hanc rectæ de religione sententiæ mercedem pendat, vt eos, qui vobis infesti sunt, superetis. Ac maximè quidem velim vos breui videamus, atque, quemadmodum nobis in votis est, recipiamus. Sin autem, negotiis ita postulantibus, longiorem moram trahatis, literis saltem, quibus de rerum vestrarum statu certiores fiamus, nos oblectare

ne

ne grauemini. Deniq; noſtra cauſa pro veſtro more precemini. Sanos vos,ac firmos,omnibusq; rebus lætos & alacres Deus Opt. max. in commune Eccleſiæ ſubſidium præbeat.

Γρηγόριος Μελετίῳ.

Οὔτε ἐδεξάμην σοῦ γράμματα πώποτε το- 54.
σούτῳ χρόνῳ, οὔτε ἐπέστειλα. πείθομαι δὲ ὅτι
καὶ αὐτῷ ποθοῦντι. ὢ τῆς ἀργίας, ἵνα μὴ εἴπω,
τῆς ἀναλγησίας. μικρὸν καὶ ὁ Ἀργανθώνιος ἡ-
μῖν, εἰς ὕπνου λόγον. οὕτως [a] ἐκαθευδήσαμεν. ποῦ a. καθεύδω.
μὲν ὁ θίασος ἡμῖν ἐκεῖνος; ποῦ δὲ οἱ κοινοὶ
λόγοι καὶ σύλλογοι, καὶ ἡ γλυκεῖα πηγὴ καὶ ἄφ-
θονος, ἀφ' ἧς [b] ἠρυόμεθα; ἐγὼ μὲν οὖν καὶ δια- b ἀρύομαι.
νίσταμαι καὶ τὴν κόνιν ἀποσείομαι, κατὰ τοὺς Ἀχιλ-
λέως ἵππους. ὀψὲ γοῦν, [c] ὀκνῶ γὰρ [d] εἰπεῖν, καὶ c ὀκνέω.
τὴν χαίτην ἀνασείομαι. μή με κωμῳδεῖν [e] ὑ- d ἔπω.
πολάβῃς. σὺ δὲ, εἴ τι μέλει τῆς ἡμετέρας φιλίας, e ὑπολαμ-
ἐξ ὧν ἐπιστέλλεις, δηλωθήσεται. βάνω.

Gregorius Meletio.

Tanto iam tempore nec vllas à te literas accepi, nec ipſe ad te ſcripſi,minimè dubito,quin id etiam expetentem. O ingentem ceſſationem ac deſidiã, ne dicam ſtuporem. Penè quoque nobis, quantum ad ſomnum attinet, Arganthonius rediit: ita diu

dormiuimus. Vbi nobis illa sodalitas. Vbi communes sermones & cætus, & dulcis ille ac perennis fons, vnde hauriebamus? Equidem ipse & exurgo & puluerem excutio, quemadmodum Achillis equi, serius id licet (vereor enim dicere) ac setam succutio. Ne me, quæso, cauillari existimes. Tu verò, ecquid amicitiam nostrã cures, ex literis tuis conspicuum fiet.

Γρηγόριος Εὐαγρίῳ.

55. [a]Ἥσθην ἐπαινούμενος. τὸ γὰρ τὸν υἱὸν ἡμῶν Εὐάγριον εὐδοκιμεῖν, ἡμᾶς ἐστιν [b] εὐδοκιμεῖν. τέκνων γὰρ ἀρετὴ, δόξα πατέρων. ἡμεῖς δὲ, εἰς λόγους μὲν, οὐδὲν, ἢ μικρὸν ἴσως [c] συνίσμεν ἡμῖν αὐτοῖς [d] ὠφελήσασι τὸν σὸν υἱόν (οὐδὲ γὰρ μέγα ἡμῖν τὸ τῶν λόγων) ἓν δὲ ἀντὶ πάντων αὐτῷ καὶ μέγιστον [e] συνεισενέγκαμεν (οὐκ [f] ἀρνήσομαι) τὸν τοῦ θεοῦ φόβον, καὶ τὸ [g] πεῖσαι τῶν παρόντων καταφρονεῖν. ἐκείνῳ μὲν οὖν τὰ κάλλιστα [h] συνηυξάμεθά τε καὶ συνευχόμεθα· ἵν᾽ ἃς [i] ἔλαβε παρ᾽ ἡμῶν ἀρχὰς, τελέως [k] καρποφορήσῃ. καὶ ἵνα τῆς σπουδῆς καρπὸν ἐνεγκώμεθα. τῇ δὲ σῇ τιμιότητι, πᾶσα χάρις, ὅτι καὶ [l] μεμνῆσθαι ἡμῶν ἀξιοῖς, καὶ τοῖς ὑπομνήμασι τιμᾶν τῆς φιλίας. ἅπερ οὐ μικρὰ ὄντα, μειζόνως [m] ὑπεδεξάμεθα.

a ἥδομαι.
b εὐδοκιμέω.
c συνίσημι.
d ὠφελέω.
e συμφέρω
f ἀρνέομαι
g πείθω.
h συνεύχομαι.
i λαμβάνω
k καρποφορέω.
l μνάομαι.
m ὑποδέχομαι.

Gre-

Gregorius Euagrio.

Laudari mihi iucundum fuit. Nam filium nostrum Euagrium clarum ac celebrem esse, gloria nostra & splendor est. Filiorum enim virtus, patrum est gloria. Nos autem, quantum ad doctrinam attinet, haud quicquam, aut parum fortasse ipsi filio tuo vtilitatis attulisse, nobis conscij sumus (neque enim magna in nobis doctrinæ facultas est:) vnum autem pro omnibus & quidem maximum ei contulimus (haud istud inficier) nimirum Dei metum, quodq́ ei, vt res præsentes contemptui haberet, persuasimus. Atque ipsi quidem optima quæque, & optauimus, & optamus. vt quæ à nobis initia accepit, ad plenam frugem proueheat, ac nos etiam ipsi studij ac diligentiæ nostræ fructum aliquem feramus. Tuæ verò excellentiæ quàm maximas gratias ago, quòd & nostri meminisse non grauaris, & amicitiæ monimentis honestare. Quæ quidem, cùm minimè parua sint, libentius suscepimus.

Γρηγόριος Προκοπίῳ.

Διὰ μακροῦ σε προσφθέγγομαι, τὸν ἀντὶ πάν- 56.
των ἡμῖν καὶ πρὸ πάντων. ὃν καὶ παρόντα τῶν
μεγάλων [a] ἠξίους, καὶ [b] ἀπόντα οἶδ' ὅτι τῶν αὐ-
τῶν ἀξιοῖς. μισθὸς δὲ [c] γινέσθω τῷ διακόνῳ
τῆς ἐπιστολῆς τῷ υἱῷ ἡμῶν Ἀνθίμῳ ὑπὲρ μεγάλων
μέγας.

a ἀξιόω. b ἄπειμι. c γίνομαι.

d τυγχάνω. e δεῖ. f προσίθεμαι. g κατορθόω.

μέγας. τίς οὗτος; τῆς παρὰ σοῦ προστασίας [d] τυχεῖν, ἐν οἷς ἄν [e] δέηται. μέγιστον δὲ εἰς τὴν πρεσβείαν ἡμῖν, καὶ ὁ ἀνὴρ οὗτος ἐξ ἐπιφανοῦς στρατείας, ἴσως καὶ τοῖς μεγάλοις ὑμῖν γνώριμος, καὶ ἡ συμφορὰ τοῦ σώματος, αὐτόθεν τὴν ὄψιν πείθουσα. βαρεῖα μὲν καὶ καθ' ἑαυτήν, τῷ παρ' ἀξίαν δὲ, ὡς εἰκὸς, βαρυτέρα. τούτοις [f] προστεθεῖσα καὶ ἡ παρ' ἡμῶν παράκλησις, οἶδα ὅτι [g] κατορθώσει μᾶλλον τὸ σπουδαζόμενον.

Gregorius Procopio.

Longo interuallo te saluto, atque alloquor, qui instar omnium, atq; ante omnes mihi es: meq; & præsentem magnis honoribus complectebaris, & absentem (sic enim mihi persuadeo) iisdem complecteris. Merces autem filio nostro Anthimo, huius epistolæ ministro, pro ingentibus rebus, ingens rependatur. Quæ tandem hæc? Vt quibus in rebus opus ei fuerit, præsidium tuum consequatur. Maximum autem pondus ad deprecationem nobis affert hic quoq; ipse vir, ex insigni atq; illustri militia, vobis etiam, magnis viris, fortasse notus: atq; corporis calamitas, oculis ipsis fidem faciens. Quæ cùm per se grauis & acerba sit, tum quia præter meritum, vt verisimile est, plus acerbitatis habet. Quibus rebus adiuncta nostra precatio, non dubito, quin id, de quo laboramus, magis conficiat.

Γρηγό-

Γρηγόριος Ὀλυμπιανῷ.

57.

Τὸ πυκτίον, ὅπερ [a] εἴληφας παρ' ἡμῶν, τὰς Ἀριστοτέλους ἐπιστολὰς, [b] ἐδυνάμην μὲν μὴ [c] ἀνακομίσασθαι, ἀλλὰ παρὰ σοὶ μένειν [d] ἐᾶσαι, λογίῳ τε δῶρον οἰκεῖον, καὶ φιλίας ὑπόμνημα δεξιόν. ὡς ἂν δὲ μὴ γραφὴν [e] ἀπενέγκῃς καθ' ἡμῶν τῆς εἰς ἀρχὴν παρανομίας καὶ ὕβρεως, ὡς καὶ ὁ Ῥήτωρ δεινότατος καὶ δικαστὴς ἄριστος, ὃν διαφθείρειν [f] ἐπιχειροῦμεν δικαστὴν οὕτως ἀνάλωτον, καὶ παντὸς ὑψηλότερον λήμματος, ἡκέτω πάλιν ἡμῖν ὃ [g] δεδώκαμεν, μισθὸν δὲ [h] ζητοῦμεν παρὰ τῆς σῆς λογιότητος, ἄλλο μὲν οὐδέν. (τί γὰρ ἂν καὶ δοίης ἡμῖν τὸ μηδὲν ἔχειν φιλοσοφοῦσιν;) αὐτὸ δὲ τὸ ἐπιστέλλειν, ἵνα σοι καὶ πρὸς λόγον ᾖ τὸ τῆς ἀντιδόσεως, τὴν ἐπὶ ταῖς ἐπιστολαῖς χάριν δι' ἐπιστολῶν διαλύοντι.

a λαμβάνω.
b δύναμαι.
c ἀνακομίζομαι.
d ἐάω.
e ἀποφέρω.
f ἐπιχειρέω.
g δίδωμι.
h ζητέω.

Gregorius Olympiano.

Librum quem à nobis accepisti, quo Aristotelis Epistolæ continentur, poteram quidem, non recipere, verùm penes te relinquere: munus videlicet erudito viro aptum & commodum amicitiæ monimentum. Verùm ne vt & orator eloquentissimus,

&

& iudex optimus, iniquitatis & contumeliæ aduersus præfecturæ dignitatem admissæ dicam nobis impingas, quòd tam integrũ & incorruptum iudicem, atque omni quæstu sublimiorem, corrumpere tentamus, redeat ad nos id quod dedimus. Mercedem autem à te, viro erudito, nullam aliam postulamus (quid enim nobis dares, nihil quibus habere studio est) quàm hoc ipsum, vt ad nos scribas. Sic enim æqua tibi remuneratio erit, epistolarum beneficium per epistolas dissoluenti.

Γρηγόριος Ὀλυμπίῳ.

58. Καὶ ὁ πόθος τῆς σῆς συντυχίας, θερμὸς, καὶ ἡ χρεία τῶν δεομένων, μεγάλη· ἀλλ' ἡ νόσος ἀήττητος. διὰ τούτου γράμμασι ταύτην τὴν πρεσβείαν [a] ἐθάρρησα. [b] αἰδέσθητι μὲν ἡμῶν τὴν πολιὰν ἣν ᾐδέσθης ἤδη καλῶς ποιῶν καὶ πολλάκις· αἰδέσθητι δὲ καὶ τὴν ἀρρωστίαν αὐτὴν ἣ μέρος τι καὶ οἱ κατὰ θεὸν ἱδρῶτες [c] συνεισήνεγκαν, εἴτι δεῖ καὶ [d] νεανιεύσασθαι, καὶ διὰ τοῦτο [e] φεῖσαι μὲν τῶν πολιτευομένων πρὸς ἡμᾶς βλεπόντων, ὡς ἐχόντων ἐπὶ τοῦ παρρησίαν· φεῖσαι δὲ τῶν ἄλλων τῶν ὑπὸ τὴν ἡμετέραν φροντίδα. καὶ γὰρ οὐδεμία ζημία τοῖς πράγμασιν ἐκ τῆς φιλανθρωπίας, ἐπεὶ τῷ φόβῳ πλείονα [f] κατορθοῖς, ἢ ταῖς τιμωρίαις ἕτεροι. σοὶ δὲ ἀντὶ τούτων γένοιτο

a θαρρέω.
b αἰδέομαι
c συνεισφέρω.
d νεανιεύομαι.
e φείδομαι.
f κατορθόω.

γένοιτο τοιούτου [g] τυχεῖν τοῦ κριτοῦ, οἷός περ ἂν αὐτὸς γένῃ τοῖς δεομένοις, καὶ ἡμῖν τοῖς πρεσβεύουσιν. g τυγχάνω.

Gregorius Olympio.

Et congressus tui cupiditas ardens est, & rogantium necessitas magna: sed morbus vinci nequit. Ac propterea deprecationem hanc literis cõmittere non dubitaui. Moueat te nostra canicies, quæ te iam antehac, vt par erat, & quidem persæpe mouit. Moueat te quoque morbus hic, cui, si quid arroganter dicendum est, partem etiam aliquam suscepti Dei causa sudores contulerunt. Ob eamq́ causam ciuibus parce, quorum in nos oculi coniecti sunt, tanquam qui authoritatem ac fiduciam apud te habeamus. Aliis item, qui nostræ curæ subiecti sunt, parce. Siquidem nullum ex facilitate atq; misericordia detrimentum rebus infertur. Quandoquidem tu terrore plura conficis, quàm alij suppliciis & cruciatu. Tibi verò pro his rebus talem erga te iudicem consequi contingat, qualem te supplicibus, ac nobis, qui pro ipso deprecamur, præbueris.

Γρηγόριος Διοκλεῖ.

Οὔτε [a] κεκλήμεθα πρὸς τοὺς γάμους τῆς θυγατρὸς ἡμῶν, καὶ [b] πάρεσμεν, καὶ συνεορτάζοντες καὶ συμπροθυμούμενοι, καὶ ἐπευχόμενοι πᾶν ὑμῖν 59. a καλέομαι. b πάρειμι.

ὑμῖν ὃ κάλλιστον. ἓν δὲ τῶν καλῶν, παρεῖναι χριστὸν τοῖς γάμοις (ὅπου δὲ χριστὸς, εὐκοσμία) καὶ τὸ γενέσθαι οἶνον τὸ ὕδωρ, τὸ δέ ἐστι, πάντα μεταποιεῖσθαι εἰς τὸ βέλτιον οὕτως, ὡς μὴ τὰ ἄμικτα μίγνυσθαι· μήτε εἰς ταυτὸν ἐπισκόπους ἄγειν, καὶ γελωτοποιοὺς· εὐχὰς, καὶ κρότους. ψαλμῳδίας, καὶ συναυλίας. δεῖ γὰρ ὥσπερ τἆλλα πάντα, οὕτως καὶ τοὺς γάμους χριστιανῶν ἔχειν τὸ εὔκοσμον. κόσμος δὲ ἡ σεμνότης. ταῦτα [c] δωροφοροῦμεν τῷ γάμῳ, σὺ δὲ ἡμῖν [d] ἀντιδοίης τὴν εὐπείθειαν. τὸν δὲ γαμβρὸν, εἰ μὲν ἕπεται τούτοις, ἔχεις υἱόν· εἰ δὲ μὴ, στρατιώτην.

c δωροφορέω.
d ἀντιδίδωμι.

Gregorius Diocli.

ET *si ad filiæ nostræ nuptias minimè vocati, adsumus tamen, & festum simul agitantes, & animi alacritatem præferentes, & vobis optima & pulcherrima quæque optantes. Vnum autem bonorum illud est, vt Christus nuptiis intersit, (porrò vbi Christus est, modestia quoque est.) atq; aqua in vinum conuertatur, hoc est, vt cuncta in melius immutentur. sic nimirum, vt quæ misceri nefas est, inter se minimè misceantur, nec Episcopi cum sannionibus copulentur, nec preces cum plausibus, nec psalmodiæ cum tibicinum cantibus. Operæpretium enim est, vt,*

vt, quemadmodum cætera omnia, sic etiam Christianorum matrimonia modesta & composita sint. Modestia porrò in grauitate sita est. Hæc nuptiis munera offerimus : tu verò pro his obedientiam nobis repende. Generum autem, si his obsequitur, filium velim habeas: sin minùs, militem.





E LIBER



LIBER SE-CVNDVS.

Γρηγόριος Ἀνυσίῳ.

1. Πῶς ἔχει τὰ πράγματα ἡμῖν ἐρωτᾷς; μετά τινος ἱστορίας [a] ἀποκρινούμεθα. [b] ἐπρέσβευον Ἀθηναῖοι πρὸς Λακεδαιμονίους [c] φασὶν, ἡνίκα [d] ἐτυραννοῦντο. ἡ πρεσβεία δὲ ἦν γενέσθαί τι αὐτοῖς ἐκεῖθεν φιλάνθρωπον. ὡς δὲ [e] ἐπανῆκον ἐκ τῆς πρεσβείας, ἔπειτα [f] ἤρετό τις, πῶς ἡμῖν οἱ Λακεδαιμόνιοι; οἱ δὲ, ὡς μὲν δούλοις, ἔφασαν, λίαν χρηστῶς· ὡς δὲ ἐλευθέροις, λίαν ὑβριστικῶς. τοῦτο γοῦν καὶ αὐτὸς ἔχω γράφειν. πράττομεν γὰρ, τῶν μὲν ἀπεγνωσμένων, φιλανθρωπότερον. τῶν δὲ μελλόντων θεῷ, φορτικώτερον. ἥτε γὰρ νόσος ἔτι παραλυπεῖ· οἵ τε φίλοι [g] κακοῦντες, οὐκ [h] ἀνιῶσι, καὶ τὰ δυνατὰ βλάπτοντες. ἀλλ' εὔχου τὸ θεῖον εὐμενὲς ἡμῖν εἶναι. καὶ δυοῖν θάτερον. ἢ [i] φευξόμεθα τὰ δεινὰ,

a ἀποκρίνομαι.
b πρεσβεύω.
c φημὶ.
d τυραννέομαι.
e ἐπανήκω.
f ἔρομαι.
g κακέω.
h ἀνιάω.
i φεύγω.

νὰ, πάντως, ἢ [k] καρτερήσομεν. ἔστι δὲ καὶ τοῦ k καρτερέω.
ἐπιεικῶς συμφορᾶς ἐλάττωσις.

Gregorius Anyſio.

VT res noſtræ ſe habeant, ſciſcitaris? Cùm quadam hiſtoria reſpondebimus. Legationem quādam Athenienſes apud Lacedæmonios obiiſſe ferunt, cùm tyrannide premerentur. Legationis porrò hæc ſumma erat, vt boni & æqui aliquid ab eis impetrarent. Poſteaquam autem è legatione redierunt, rogauit quiſpiam, quo animo erga nos ſunt Lacedæmonij? At illi, Vt erga ſeruos admodum benigno & humano: vt autem erga liberos, perquàm inſolenti & contumelioſo. Hoc igitur ipſe quoque ſcribere poſſum. Humanius enim mitiusq́; nobiſcum agitur, quàm cùm reiectis & deſperatis: durius autem quàm cùm iis qui Deo curæ ſunt. Nam & morbus adhuc infeſtus eſt; & amici nos vexare, ac, quibus poſſunt, incommodis afficere non deſinunt. Ac tu à Deo precibus pete, vt ſe propitium nobis & placidum præbeat. Ita duorum alterum continget, nempe vt vel has acerbitates omnino fugiamus, vel certè perferamus. Lenitatis porrò rationem habet calamitatis imminutio.



Γρηγόριος Σωφρονίῳ ὑπάρχῳ.

2. Μητέρα τιμᾶν, τῶν ὁσίων. μήτηρ δὲ, ἄλλη
μὲν ἄλλου, κοινὴ δὲ πάντων, πατρίς. ταύτην
ἐτίμησας μὲν, πάσῃ σου τῇ τοῦ βίου λαμπρότητι, τι-
a αἰδέο- μήσεις δὲ καὶ νῦν ἡμᾶς [a] αἰδεσθεὶς ὑπὲρ ὧν πρεσ-
μαι. βεύομεν. ἡ πρεσβεία δὲ τίς; τὸν λογιώτατον τῶν
καθ' αὐτὴν Εὐδόξιον, τὸν Ῥήτορα πάντως γινώσ-
κεις. τούτου παῖς, ἵν' εἴπω συντόμως, ἄλλος Εὐδό-
ξιος καὶ βίῳ καὶ λόγῳ, νῦν σοι πρόσεισι δι' ἡ-
b καθίστημι μῶν. ἵν' οὖν ὀνομαστότερον σεαυτὸν [b] καταστήσῃς,
γενοῦ τῷ ἀνδρὶ δεξιὸς, ἐν οἷς ἂν δέηται τῆς σῆς
c εἰμί. προστασίας. Αἰσχρὸν γὰρ, κοινὸν [c] ὄντα σε τῆς πα-
τρίδος προστάτην, καὶ πολλοὺς εὖ πεποιηκότα,
d προστί- [d] προσθήσω δὲ, ὅτι καὶ ποιήσοντα, μὴ πρὸ πάν-
θημι. των τιμῆσαι τὸν ἄριστον ἐν λόγοις· καὶ λόγους, οὓς
εἰ μή τι ἄλλο, κατὰ τοῦτο αἰδεῖσθαι δίκαιον, ὅτι τῶν
σῶν καλῶν εἰσιν ἐπαινέται.

Eidem.

Matrem honore afficere pium ac sanctum est. Mater autem alia quidem alius est, communis autem omnium, patria. Hanc tu quidem omni vitæ tuæ splendore ornasti, ornabis autem eam nunc quoque,

que, ſi ſupplicibus noſtris precibus cõmouearis. Quænam autem eſt hæc precatio? Diſertiſſimum totius patriæ veſtræ Eudoxium Rhetorem omnino cognoſcis. Huius filius, vt breuiter dicam, tum vita, tum doctrina, alter Eudoxius, nunc per nos ad te accedit. Vt igitur maiorem tibi nominis celebritatem concilies, homini, quibuſcunque in rebus præſidio tuo opus habuerit, commodum & benignum te præbe. Turpe enim fuerit, cùm communis patriæ patronus ſis, ac multos beneficio affeceris, addam etiam affecturus ſis, non præ omnibus eum, qui doctrina, & dicendi facultate omnes antecellit, colere atque ornare: atque etiam ipſam eloquentiam, quam, ſi nulla alia, at certè hac de cauſa venerari conuenit, quòd ea virtutum tuarum laudes celebrantur.



Τί [a] φής; πείθομέν σε τοῖς λόγοις τούτοις, 3.
καὶ [b] μεταθήσῃ τὴν παίδευσιν, καὶ μεθ' ἡ- a φημί.
μῶν [c] ταχθήσῃ τῶν ποτε καὶ σὲ, νῦν δὲ, εἰ δί- b μεταπί-
δως εἰπεῖν ὑπὲρ σέ; ἢ δεῖ σου καταπάδειν μα- θημι.
κρότερα; μηδαμῶς, ὦ θαυμάσιε, μὴ τοῦτ' [d] ἀνα- c τάττομαι
μείνῃς. αἰσχρὸν γὰρ τὸ πλεῖον ἔχοντα, τὸ πᾶν ἐλ- d ἀναμέ- νω.
λείπειν. εἰ γὰρ ἀρχὴ τὸ ἥμισυ τοῦ παντὸς γίνεται,
τοῦ ἡμίσεως τὸ πλέον τί ἄλλο γε, ἢ τὸ πᾶν; εἰ μὲν
οὖν [e] ἀρκοῦμεν ἡμεῖς εἰς παραίνεσιν, ἔχει ταῦτα e ἀρκέω.

καλῶς, καὶ μηδὲν πλέον [f] ἐπιζητείσθω. εἰ δὲ δεῖ σοι συμβούλου καὶ κρείσσονος, μετὰ βουλῆς μὲν οἰνοποτεῖν Σολομῶν σοι παρακελεύεται, ἵνα μὴ τῇ τοῦ βίου μέθῃ καὶ δίνῃ [g] περιτραπῇς. ἐγὼ δὲ τι φημὶ μικρὸν τῆς συμβουλῆς παρατρέψας. μετὰ θεοῦ βούλευε· καὶ οὐ [h] διαμαρτήσεις τοῦ δέοντος.

f ἐπιζητέομαι.
g περιτρέπομαι.
h διαμαρτάνω.

Incerto.

Quid ais? num te his verbis permouemus, & eruditionem commutabis, atq; ad nos, qui quondã tui similes eramus, nunc autem, si per te ita loqui liceat, te superiores sumus, te aggregabis? An tu longiori oratione demulcendus es? Ne, quæso, mirifice vir, ne id expectes. Turpe enim est, eum qui ampliorem habeat partem, totum nõ adipisci. Nam si principium totius rei dimidium est, quod dimidium excedit, quid aliud, quàm totum esse queat? Ac si quidem consilio nostro contentus es, præclare res habet: nec quicquam præterea requiratur. Sin autem tibi præstantiore monitore opus est, illud quidem monet Salomon, vt cum consilio vinum bibas, ne alioquin huiusce tumulentiæ, & vertigine preceps agaris, ego autem, consilio isto, nonnihil immutato, hoc dico, cum Deo consilium cape, & ab officio minimè aberrabis.

Γρηγό-

Γρηγόριος Εὐσεβίῳ ἐπισκόπῳ Καισαρείας.

Εἶχον μὲν οὐδὲ ἄλλως πρὸς τὴν σὴν εὐλάβειαν μικροψύχως (μὴ τοῦτό μου [a] καταγνῷς) ἀλλὰ μικρὸν [b] ἐλευθεριάσας τε καὶ θαῤῥήσας, ὅσον τὸ [c] λυποῦν [d] ἐπιψύξαι καὶ [e] θεραπεῦσαι, αὐτίκα [f] ἡττήθην, καὶ [g] ὑπεκλίθην, καὶ τῷ κανόνι φέρων ἐμαυτὸν [h] ὑπέθηκα. τί δὲ οὐκ ἔμελλον, σέ τε γινώσκων, καὶ νόμους πνεύματος. νῦν δὲ καὶ εἰ λίαν μικροψύχως εἶχον καὶ ἀγεννῶς, ἀλλ᾽ ὅγε καιρὸς οὐκ [i] ἐᾷ τοῦτο πάσχειν, καὶ οἱ [k] καταδραμόντες θῆρες τῆς ἐκκλησίας, τό, τε σὸν γενναῖον καὶ ἀνδρεῖον, οὕτω καθαρῶς προπολεμοῦν καὶ γνησίως τῆς ἐκκλησίας. [l] ἥξομεν οὖν εἰ δοκεῖ, καὶ ταῖς εὐχαῖς ὑμῖν συλλαμβανόμενοι, καὶ συναγωνιζόμενοι, καὶ [m] ὑπηρετησόμενοι, καὶ ὡς ἀθλητὴν ἄριστον κελευσταὶ παῖδες, ταῖς ὑποφωνήσεσιν [n] ὑπαλείψοντες.

4.
a καταγινώσκω.
b ἐλευθερόω.
c λυπέω.
d ἐπιψύχω.
e θεραπεύω.
f ἡττάομαι
g ὑποκλίνομαι.
h ὑποτίθημι.
i ἐάω.
k κατατρέχω.
l ἥκω.
m ὑπηρετέομαι.
n ὑπαλείφω.

Gregorius Eusebio Episcopo Cæsariensi.

NE ipse quidem alioqui maleuolo in pietatem tuam animo eram (neque enim hoc nomine me crimineris:) Verùm posteaquàm nonnulla loquendi libertate sum (quò videlicet conceptum ani-

mo mœrorem lenirem ac curarem) statim victus sum ac succubui, meq́ regulæ subieci. Quid ni enim id facerem, cùm, & te, & spiritus leges cognitas haberem. Nunc autem etiamsi maleuolo & ignauo animo essem, tamen ipsum tempus me hoc affectu laborare non patitur, nec feræ, quæ impetum in Ecclesiam fecerunt, nec deniq́ generosus tuus strenuusq́ animus ita syncerè ac sine fuco pro Ecclesia pugnans. Veniemus igitur, si ita videtur, vt & preces nostras cum vestris coniungamus, & vnà pugnemus, & operam vobis nauemus, atque, vt præstantissimum pugilem hortatores pueri, tacitis vocibus acuamus & incitemus.

Γρηγόριος Ὑπατίῳ.

5\. Πολὺν[a] ἐζημιώμεθα χρόνον, οὐκ ἐχούσης τὸν πρῶτον ἐν ἀνδράσι, τῆς πρώτης ἐν πόλεσιν. ἔδει γὰρ, οἶμαι, [b] χεθλῶσαι τὸ ἀγαθὸν, καὶ κοινὸν γενέσθαι τὸ πάντων ὄφελος· ὡς ἂν ἀπείρης τὴν εὐνομίαν ἐξ ὕψοις, καθάπερ τὰ σπέρματα οἱ τὰς τροφὰς [c] ἡμερώσαντες, ὡς γοῦν τοῖς μύθοις δοκεῖ καὶ τοῖς πλάσμασιν. ἐμοὶ δὲ καὶ πλεῖον ἀλγεῖν περίεστιν, οὐ τοσοῦτον [d] ἀπολαύσας μόνον, ὅσα καὶ ἀστραπῆς, ὀλίγα τὴν ὄψιν [e] περιλαμπούσης, ἔπειτα [f] ἠτλήθην τοῦ φθόνου καὶ εἰς ἐμαυτὸν [g] συνεστάλην, ἄλλοις τοῦ κεράσου τῆς

a ζημιόομαι.
b χρέομαι.
c ἡμερόω.
d ἀπολαύω.
e περιλάμπω.
f ἡττάομαι
g συστέλλομαι.

τῆς ἐκκλησίας [h] παραχωρήσας, καὶ τῆς εὐπρεπεστέρας σκηνῆς, ἵν' οὕτως εἴπω, διὰ τοὺς παίζοντας εὐκόλως τὰ μὴ παιδιᾶς ἄξια. Σὺ δὲ, ὦ πάντων ἄριστε, τὴν αὐτὴν σῶζε πρὸς ἡμᾶς διάθεσιν, ἥτις κατὰ τὴν μαγνῆτιν πρὸς αὐτὴν ἕλκει τὰ σιδήρια.

h παραχωρέω.

Gregorius Hypatio.

DIuturno detrimento mulctati sumus, dum scilicet vrbium prima virorum primum non haberet. Oportebat enim, ni fallor, bonum diffundi, omniumq; vtilitatem omnibus communicari: vt ex alto æquitatem spargeres, quemadmodum semina, ij, qui hominum cibos mitigarunt, vt quidem fabulis ac figmentis placet. Mihi verò amplior quoque hinc dolendi causa existit, quòd cùm tantulùm duntaxat te potitus essem, quantum fulgetra, strictim duntaxat oculos collustrante, posteà inuidiæ cessi, & meipsum contraxi, Ecclesiæ imperio, ac speciosa scena (vt ob eos, qui in rebus minimè ludicris facilè ludunt, his verbis vtar) aliis cedens. Tu verô, omnium præstantissime vir, eundem erga nos animum retine, qui magnetis instar ferrum ad se trahit.



Γρηγόριος Οὔρσῳ.

6. Ἡδὺ μὲν, τὸ προσαγορεύειν τοὺς φίλους. τὸ δὲ καὶ διὰ φίλων ἥδιον, ὧν ἐστιν ὁ τιμιώτατος υἱὸς ἡμῶν Ἀνύσιος. ὃς καὶ τὴν ὑγείαν ὑμᾶς διαγγελίσεται τὴν ἡμετέραν (εἴπερ ὑγεία τοῦτ' ἐστιν ἡ βραχεῖα πρὸς τὸ κρεῖττον ῥοπή.) καὶ περὶ ὧν ἠξιώθη [a] κοινώσεται. ὡς τόγε μέχρις ὑμῶν γενέσθαι, ὥσπερ ἐπιζητεῖτε φιλικῶς καὶ γνησίως, καὶ τῆς ἀγάπης [b] ἀπολαῦσαι τῆς ὑμετέρας, ἐμοὶ μὲν ἥδιστον, εὖ ἴσθι, καὶ οἷον οὐκ ἄλλο τι τῶν σπουδαζομένων, ὡς [c] ἴσασιν οἷς βοῶμεν τὴν ὑμετέραν δεξίωσιν. εἰ δὲ καὶ δυνατὸν ἢ ἄλλως εὐπρεπὲς, ἡ σὴ [d] δοκιμαζέτω σύνεσις, μήπως ἀκαιρίαν [e] καταγνωσθῶμεν καὶ φορτικοί τισι [f] δόξωμεν, ὡς ἄνευ λόγου [g] παραφανέντες καὶ προδήλου τινὸς αἰτίας. ἐπειδὴ μὴ πείθομεν τοὺς πολλοὺς, ὡς ἀδόλως φιλοσοφοῦμεν, καὶ πάντα δίδομεν Θεῷ τὰ ἡμέτερα.

a κοινόω. b ἀπολαύω c ἴσημι. d δοκιμάζω. e καταγινώσκομαι. f δοκέω. g παραφαίνομαι.

Gregorius Vrſo.

Svaue quidem eſt amicos ſalutare: ſuauius autem per amicos. Quorum in numero eſt chariſſimus filius noſter Anyſius. Qui etiam de noſtra ſanitate læſa vobis nuntiabit (ſiquidem ſanitas appellanda eſt,

eſt, exigua in melius inclinatio) ac de iis rebus, de quibus rogatus eſt, vobiſcum communicabit. Nam ad vos, vt amico ac ſyncero animo requiritis, proficiſci, ac veſtra charitate frui, mihi quidem (velim hoc credas) iucundiſsimum fuerit, atq; ita, vt earum rerum, quarum cupidiſsimi ſumus, nulla perinde, quemadmodum ij norunt, apud quos veſtram in excipiendis amicis humanitatem prædicamus. Num autem id fieri poſsit, aut etiam alioqui conueniat, prudentia ua perpendat. Verendum enim eſt, ne importunitatis notam ſubeamus, ac graues & moleſti eſſe videamur, vt qui ſine ratione ac perſpicua vlla cauſa in conſpectum prodierimus. Quandoquidem multis fidem non facimus, nos citra fucum philoſophari, ac es omnes noſtras Deo donare.

Γρηγόριος Ἐλλεβίχῳ.

Οἷα ζημιούμεθα παρὰ τῆς ἀῤῥωστίας; [a] προσ- 7.
δραμεῖν ἔδει καὶ [b] περιπτύξασθαι, καὶ τῆς
παλαιᾶς [c] ἀναμνῆσαι φιλίας καὶ συνηθείας.
χεῖ δὲ οὐχ οὕτως ἡμῖν τὰ τοῦ σώματος. διὰ τοῦ-
τό σοι [d] πρόσιμεν διὰ τῶν γραμμάτων, καὶ τῇ
προσηγορίᾳ [e] δεξιούμεθα. ἐπεὶ δὲ καὶ δωρο-
φορεῖν ἔδει τι, τοῦτο προσφέρομεν. Μάμαντα
τὸν ἀναγνώστην, ὄντα μὲν ἀπὸ στρατιώτου πατρὸς,
καθιερωθέντα δὲ τῷ θεῷ διὰ τὸν τρόπον, ἄφες

τῷ

a προστρέχω.
b περιπτύσσω.
c ἀναμνάομαι.
d πρόσειμι
e δεξιόομαι
f καθιερόομαι.

g συναριθμέω.

τῷ θεῷ καὶ ἡμῖν. ἀλλὰ μὴ [g] συναριθμήσῃς τοῖς πλανῆσι. καὶ δὸς ἔγγραφον τὴν ἐλευθερίαν, ἵνα μηδὲ ὑπὸ ἄλλων ἐπηρεάζηται. δώσεις γὰρ σεαυτῷ δεξιὰς τὰς τοῦ πολέμου καὶ τῆς στρατηγίας ἐλπίδας. ναὶ παρακαλῶ, τούτου φρόντισον. οἷς γὰρ τὰ μέγιστα ἐν χερσὶ, καὶ ἐν οἷς τὸ πᾶν ταλαντεύεται, τούτοις μάλιστα φροντιστέον θεοῦ, καὶ τῆς ἐκεῖθεν ἐπικουρίας.

Gregorius Ellebicho.

QVanto nos detrimento morbus afficit? Accurrere ad te oportebat, teq́; amplexari, ac veterem amicitiam & consuetudinem in memoriam tibi reuocare. At non ea corporis valetudine sumus. Ac proinde per literas te adimus, ac salutando excipimus. Quoniam autem munus quoque aliquod offerre conueniebat, hoc offeremus, nempe Mamantem lectorem, qui cùm militem patrem habeat, Deo tamen ob morum probitatem consecratus est. Hunc, quæso, Deo ac nobis missum fac, nec inter errones numera. Atque libertatem ac vacationem ei scripto consignatam tribue, vt ne ab aliis quidem per calumniam vexetur. Sic enim faustas quoque tibi ipsi belli atque militaris imperij spes dabis. Te, inquam, obsecro, vt ea res tibi curæ sit. Nam quibus res maximæ in manu sunt, & in quibus rerum omnium summa, tanquam

in

rutina, nutat, his potiſſimùm Deus, ipſiusq́; axilium ura eſſe debet.

Γρηγόριος Μοδαρείῳ στρατηλάτῃ

περὶ εἰρήνης τῶν ἐκκλησιῶν.

Ἡμῖν σὺ, καὶ συγγενὴς καὶ οἰκεῖος, καὶ πᾶν ὅ, 8.
τι ἂν εἴποι τοιοῦτόν τις. ἡ γὰρ εὐσέβεια [a] συ- a συνάπτω.
νῆψεν ἡμᾶς, καὶ τὸ τῆς ἀρετῆς εὐδόκιμον, ὃ ἐν
οι [b] κατεμάθομεν, [c] δείξαντι σαφῶς, ὅτι τὸ b καταμαν-
λλωικὸν, καὶ τὸ βάρβαρον, σωμάτων, οὐ ψυ- θάνω.
χῶν ἐστι διαφορὰ, καὶ τόπων διάστασις, ἀλλ' οὐ c δείκνυμι.
ρόπων, οὐδὲ προαιρέσεων. εἰ γένοιτο πολλοὺς τῶν
μετέρων τὸ γένος, τὴν σὴν [d] μιμήσασθαι καλο- d μιμέο-
αγαθίαν, καὶ πάντα ἡμῖν οἶδ' ὅτι ἕξει καλῶς, μαι.
ά τε κοινὰ καὶ τὰ ἴδια. παρακαλῶ δὲ, ὥσπερ
ν ἔξωθεν πόλεμον τῇ σεαυτοῦ δεξιᾷ καὶ συνέσει
ατελύεις γενναίως ὑπὲρ ἡμῶν ἱστάμενος, οὕτω
ύσον καὶ τὸν ἡμέτερον, ὅσα γε ἐστὶν ἐπὶ σοὶ, εἰρηνι-
ν γενέσθαι τὸ τέλος τοῖς συνελθοῦσι νῦν ἐπι-
όποις ἀγωνιούμενος. τὸ γὰρ [e] συνιέναι μὲν e σύνειμι.
λλάκις, μηδὲν δὲ πέρας εὑρίσκεσθαι τῶν κα-
κῶν, ἀλλ' ἀεὶ [f] προστιθέναι ταραχαῖς τα- f προστί-
ραχὰς, μεῖζον ἢ αἰσχύνης, ὃ καὶ θημι.
αὐτὸς γινώσκεις.

Grego-

Gregorius Modario exercitus duci, de Ecclesiarum pace.

TV nobis, & cognatus, & propinquus, ac familiaris es, & quicquid eiusmodi à quoquam dici poßit. Pietas enim nos coniunxit, & virtutis gloria, quam in te animaduertimus: hinc videlicet illud perſpicuè oſtendente, Græcum & Barbarum, corporum, non animorum, eſſe diſcrimen, ac locorum diſtantiam, non autem morum ac voluntatum. Atque vtinã multi ex iis, qui genere nobiſcum iuncti ſunt, probitatem tuam imitentur. Sic enim non dubito, quin res omnes noſtræ, tam publicæ, quàm priuatæ, bellè habituræ ſint. Te autem rogo atque obſecro, vt quemadmodum externum bellum manu tua & conſilio ac prudentia extinguis, ſtrenuo animo partes noſtras tutans, ita enim noſtrum quoq; comprimas: nimirum, quantum in te ſitum erit, contendens, vt Epiſcopis, qui nunc conuenerunt, pacatus finis ſit. Etenim ſæpe in vnum coire, nec tamen vllum malorum finem reperire, verùm tumultibus ſemper tumultus adiungere, maioris, vt tu quoque non ignoras, eſt infamiæ.

Γρηγόριος Ἰακώβῳ.

9. Ἀκοῇ μὲν γινώσκω τὴν σὴν ἡμιότητα· θαυ-
a ὁμιλέω. μάζω δὲ, ὅσον ὀλίγοι τῶν ἐπὶ πλεῖστον a ὡ-
μιλικό-

μιλικότων. τοῦτο παρὰ πᾶσι τῆς σῆς καλο-
καγαθίας λόγος. διὰ τοῦτο καὶ αὐτὸς ταύτην
[b] ἐθάῤῥησα τὴν πρεσβείαν. [c] ἀπέλιπεν ἡμᾶς ὁ b θαῤῥέω.
θαυμάσιος Αλύπιος, ὁ κοινὸς τῶν φιλοσόφων c ἀπολείπω
προστάτης, καὶ τῶν ὀρφανῶν κηδεμών. οὐ μικρὸν
τοῦτο ἡμῖν εἰς συμφοράν. διόπερ προσήκει τὸ
γε τὴν κοσμικὴν ἐλευθέραν αὐτοῦ φροντίζειν
ὑπὲρ τῶν ὀρφανῶν. ταύτην [d] παραμυθήσαι d παραμυθέομαι.
ἡ νῦν φιλανθρωπία, καὶ τὸ ἀσφαλὲς τοῖς σοῖς
τέκνοις [e] χαρίσαι, ἐπὶ τῆς εἰς τοὺς ὀρφανοὺς εὐ- e χαρίζομαι.
ποιίας· καὶ [f] δεῖξον πλέον ἔχουσαν τῶν ξένων f δείκνυμι.
τὴν οἰκειότητα. [g] προσέσται δὲ καὶ τὸ ἡμῖν χα- g πρόσειμι
ρίσασθαι, ὡς ὅ,τι ἂν τιμήσῃς, Θεὸν ἔσῃ τετιμηκώς· ὥσ-
περ ἡμεῖς ἠξιώμεθα εἶναι παραστάται, καὶ λει-
τουργοί, καὶ εἰ τῆς ἀξίας ἐλάττονες.

Gregorius Iacobo.

Auditione quidem ac fama duntaxat excellentiam tuam cognitam habeo: tantum autem am ſuſpicio, atq; admiror, quantum pauci ex iis, qui uturnam tecum conſuetudinem habuerunt. Tanto delicet omnium ſermone probitas tua prædicatur. imáq; ob cauſam ipſe quoque hoc deprecationis mus fideli animo ſuſcepi. Reliquit nos admirandus ypius, communis, inquam, ille philoſophorum patronus,

tronus, ac pupillorum curator. Hoc nobis haud parua calamitati est. Deinde illud accessit, quòd ornatissima illius vxor, pupillorum causa in cura & sollicitudine versatur. Hanc tu, quæso, per præsentem humanitatem ac misericordiam consolare, tuisq́ liberis, per tuam erga pupillos benignitatem, securitatem præbe: atque illud ostende, meliori conditione propinquos, quàm alienos esse. Accedet hîc quoque cumulus, quòd hac ratione gratiam à nobis initurus es, in quos quicquid honoris contuleris, in Deum contuleris: cuius beneficio id consecuti sumus, vt ipsi astemus ac ministremus, & si tanti muneris dignitate inferiores simus.

Per ἐλευθέραν, Literam, Billius, Vxorem intelligit.

Γρηγόριος Κελευσίῳ.

10. [a] Εἰσεδεξάμην σε καὶ σιωπῶν, ἵνα [b] μάθῃς καὶ σιωπῆς λόγον τῇ γραφίδι λαλούμενον. λαλήσω δὲ, ἃ πρέπει φιλίᾳ, καὶ τοιούτῳ καιρῷ. παρανομεῖς ὁ δικαστὴς οὐ νηστεύων. καὶ πῶς [c] φυλάξεις τοὺς ἀνθρωπίνους νόμους, τοὺς θείους περιφρονῶν; καθαίρου σὺ τὸ δικαστήριον, ἵνα μὴ δυοῖν ἓν, ἢ γίνῃ κακὸς, ἢ νομίζῃ. τὸ περιϊδέναι θέας αἰσχρὰς, ἑαυτόν ἐστι θεατρίζειν. κεφάλαιον τοῦ λόγου, [d] ἴσθι κρινόμενος ὁ δικαστὴς, καὶ ἧττον [e] ἁμαρτήσεις. τούτων οὐδὲν εἶχόν σοι [f] παρασχεῖν ἄμεινον.

a εἰσδέχομαι. b μανθάνω. c φυλάττω d ἴσημι. e ἁμαρτάνω. f παρέχω.

Gre-

Gregorius Celeuſio.

EXcepi te, etiam tacens, vt ſilentij quoq; ſermonem eſſe intelligas, per calamum ſe proferentem. Loquar autem, quæ & amicitiæ noſtræ, & huiuſmodi tempori conueniunt. Iniquè agis, ô Iudex, qui non ieiunes. Et quo modo leges humanas ſeruabis, qui diuinas contemnis ac pro nihilo ducis? Purga tribunal tuum: ne duorum alterum tibi accidat, vt aut malus fias, aut exiſtimeris. Fœda ſpectacula proponere, ſeipſum traducere eſt. In ſumma, ô Iudex, te iudicium ſubiturum eſſe ſcito: & minus peccabis: His nihil melius habebam, quod tibi præberem.

Γρηγόριος Ἀμαζονίῳ.

Ἄν τις [a] ἔρηταί σε τῶν κοινῶν φίλων (πολ- 11.
λοὺς δὲ εἶναι πείθομαι) ποῦ δὲ νῦν ὁ Γρη- a ἔρομαι.
γόριος; πράττει δὲ τί; θαῤῥῶν εἰπὲ, ὅτι ἐφ᾽ ἡ-
συχίας φιλοσοφεῖ, τοσαῦτα τῶν ἀδικούντων
φροντίζων, ὅσα τῶν οὐδὲ εἰ [b] γεγόνασι, γινωσκο- b γίνομαι.
μένων. οὕτως ἐστὶν ἀήττητος. ἂν δέ σε πάλιν ὁ αὐ-
τὸς [c] ἐπανέρηται, πῶς δὲ τὴν διάζευξιν φέρει c ἐπανέρο-
τῶν φίλων; μηκέτι θαῤῥῶν εἴποις, ὅτι φιλοσοφεῖ, μαι.
ἀλλὰ καὶ λίαν ἀγεννῶς ἔχει. ἄλλου μὲν γὰρ ἄλ-
λος ἥττων ἐστὶν, ἡμεῖς δὲ φιλίας καὶ φίλων.
τούτων εἷς ἐστι καὶ ὁ θαυμάσιος ἀμαζόνιος. Τά-

χα ἂν ἑνὶ μόνῳ [d] θεραπεύσαις ἡμᾶς, καὶ ῥᾴους ἐπὶ σοὶ ποιήσαις, εἰ μνημονεύοις ἡμῶν, καὶ ὅτι τοῦτο ποιεῖς, [e] πείθοις τοῖς γράμμασιν.

d θεραπεύω.
e πείθω.

Gregorius Amazonio.

SI quis communium amicorum (quos permultos eſſe confido) ex te percontetur, vbi nunc Gregorius, & quid rerum agat, dicere ne dubites, eum quietè ac tranquillè philoſophari, non magis eos, à quibus iniuria ipſi illata eſt, curantem, quàm eos, de quibus, in lucémne & vitam prodierint, ignotum atque obſcurum eſt. adeo inuicto eſt animi robore. Quòd ſi te rurſus idem roget, quomodo amicorum diſiunctionem ferat, non iam fidenter reſpondeas eum philoſophari, verùm animo eſſe perquam humili & abiecto. Alij enim in aliis rebus molliores ſunt: ego autem in amicitia & amicis, quorum in numero eximius quoque Amazonius eſt. Tu verò hac vna re fortaſſe mœrori noſtro mederi queas, ac deſiderium tui lenire, ſi noſtri memor fueris, atq; huius rei fidem mihi per literas facias.

Γρηγόριος τῷ Ὀλυμπίῳ.

12\. Τοῦτό μοι τῆς ἀῤῥωσίας ἐστὶ βαρύτερον, τὸ [a] ἀῤῥωστοῦντα μηδὲ πιστεύεσθαι, ἀλλ' ἐκδημίαν οὕτω

a ἀῤῥωστέω.

οὕτω μακρὰν ἀποδίμειν, καὶ εἰς μέσους θορύβους
[b] ὠθεῖσθαι· ὧν τὴν ἀναχώρησιν [c] ἠγαπήσαμεν, [b] ὠθέομαι.
μικροῦ καὶ χάριν διὰ τοῦτο τῇ τοῦ σώματος κα- [c] ἀγαπάω.
κοπαθείᾳ ὁμολογήσαντες. ἀπράγμων γὰρ ἡσυ-
χία, τῆς ἐν πράγματι περιφανείας τιμιωτέρα.
τοῦτο ἐπέστελλα μὲν καὶ πρώην τῷ θαυμασιωτάτῳ
Ἰκαρίῳ, τὸ αὐτὸ δεξάμενος πρόσταγμα, ἐπι-
στέλλω δὲ καὶ νῦν ὑπὲρ ἡμῶν, ἡ σὴ μεγαλόνοια
καταξιωσάτω, ὃν ἀξιόπιστον μάρτυρα τῆς ἡμετέ-
ρας ἔχομεν ἀῤῥωστίας. ἐπείθη δὲ καὶ ἡ ζημία,
ἣν ἐζημιώθημεν νῦν, μηδὲ [d] προσδραμεῖν καὶ
ἀπολαῦσαί σου [e] δεηθέντες, ἄρχοντος οὕτω [d] προσεξ-
δεξιοῦ, καὶ οὕτω θαυμασίου τὴν ἀρετὴν, ὡς καὶ χω.
τὰ προοίμια τῆς σῆς ἀρχῆς εἶναι λημιώτερα, τῆς [e] δύναμαι.
διὰ τέλους ἑτέρων εὐδοκιμήσεως.

Gregorius Olympio.

Hoc mihi morbo ipso grauius est, quòd cùm æger sim, ægrotare tamen non credar, verùm pere-rinationem ita longam inire, atque in medios tu-ultus meipsum impellere iubear: à quibus secessisse ım mihi gratum fuit, vt hoc nomine gratiam quoq; rporis afflictioni propemodum habeam. Quieta e-m & à negotiis semota vitæ ratio actuosæ vitæ lendore præstantior est. Hoc & illustrißimo quoq;

Icario non ita pridem scripsi, cùm idem ab eo iussum accepissem: & nunc à tua animi magnitudine peto, vt pro nobis quoque id scribere ne grauetur: quippe quem morbi nostri locupletem testem habemus. Argumento est damnum illud, quod nunc accepimus, cùm per corporis infirmitatem nec ad te accurrere, nec te frui, nobis licuerit, præside tam commodo, tamq; eximia virtute prædito, vt præludia quoque ipsa imperij tui excellẽtiora sint ea gloria, quam alij toto imperij tempore consequuntur.

Τῷ αὐτῷ.

Ἰδού σοι καὶ ἄλλη γραμμάτων ὑπόθεσις, ἃ σὺ
13. ποιεῖς, εἰ χρὴ τἀληθῆ λέγειν, τῷ τιμᾶν παρακαλού-
μενος. Ἰδού σοι καὶ ἄλλος ἱκέτης φόβου δέσ-
μιος οὗτος, συγγενὴς ἡμῶν Εὐστράτιος, ὃς μεθ'
ἡμῶν καὶ δι' ἡμῶν προσπίπτει τῇ σῇ ἀγαθότητι, οὔ-
τε διαπαντὸς ἀφηνιάζειν τῆς σῆς ἀρχῆς ἀνεχό-
a πτοέω. μενος, εἰ καὶ φόβος δίκαιος αὐτὸν [a] ἐπτόη-
b προσπίπτω. σεν, οὔτε δι' ἄλλου σοι [b] προσπεσεῖν ἢ δι' ἡμῶν αἱ-
ρούμενος· ἵνα καὶ σεμνοτέραν ἑαυτῷ ποιήσῃ τὴν
φιλανθρωπίαν τοιούτοις πρεσβευταῖς χρώμε-
νος, οὓς, εἰ μή τι ἄλλο, αὐτὸς μεγάλους ποιεῖς οὕτω
τὰς παρακλήσεις δεχόμενος. ἓν καὶ σύντομον
φθέγξομαι· τὰς μὲν πρώτας χάριτας, ἐδίδως
ἡμῖν·

ἡμῖν· ταύτην δὲ τῇ σεαυτοῦ χειρὶ δώσεις, ἐπειδὴ ἅπαξ [c] ὥρμησας παραμυθεῖσθαι τὸ γῆρας ἡμῶν, καὶ τὴν ἀσθένειαν ταῖς τοιαύταις τιμαῖς. [d] προσθήσω δὲ, ὅτι καὶ τὸ θεῖον ἀεὶ σεαυτῷ [*] ποιεῖν εὐμενέστερον.

c ὁρμάω. d προσίθημι. * fortè, ποιήσεις.

Eidem.

EN tibi aliud quoque literarum argumentum. Quarum tu, ſi verè loquendum eſt, cauſa es, nimirum per eos honores, quos mihi habes, [ad petendum me] prouocans. En tibi alius quoque ſupplex timoris vinculis conſtrictus, hic inquam cognatus noſter Euſtratius, qui nobiſcum, ac per nos, ad bonitatis tuæ pedes ſeſe proſternit, nec perpetuò à tuo imperio per contumaciam ſeſe abſtrahere ſuſtinens (etiam ſi iuſtus eum metus perterruit) nec per alium, quàm me, ad pedes tibi accidere in animum inducens: quò ſcilicet adhibitis huiuſmodi deprecatoribus, quos, ſi nihil aliud, ipſe magnos efficis, (dum deprecationes ſic excipis) ſplendidiorem ſibi benignitatem tuam conciliet. Vnum duntaxat, idq́ breue dicam. Priores gratias nobis concedebas. hanc tuo ipſius iudicio dabis (quandoquidem ſemel noſtram ſenectutem & corporis infirmitatem huiuſmodi honoribus cõſolari aggreſſus es.) Addam etiam quòd hac ratione placidius tibi diuinum numen reddes.

Γρηγόριος Εὐσεβίῳ ἐπισκόπῳ Σαμοσάτων.

14\. Καὶ γράφων καὶ [a] μεμνημένος εὐφραίνεις ἡμᾶς· καὶ ὃ τούτου μεῖζον, εὐλογῶν ἐν τοῖς γράμμασιν. ἡμεῖς δὲ εἰ μὲν ἄξια τῶν σῶν παθημάτων, καὶ τῆς ὑπὲρ Χριστοῦ καὶ διὰ Χριστὸν ἀθλήσεως [b] καταξιωθείημεν ἄν, καὶ μέχρις σου γινόμενοι, [c] περιπτύξασθαί σου τὴν θεοσέβειαν, καὶ τύπον [d] λαβεῖν τῆς ἐν τοῖς παθήμασιν καρτερίας. * ἐπειδὴ δὲ ἀνάξιοι τούτου τυγχάνομεν, πολλαῖς θλίψεσι καὶ ἀσχολίαις ἐνοχλούμενοι, ὃ δεύτερόν ἐστι ποιοῦμεν· προσαγορεύομεν τὴν τελειότητά σου, καὶ ἀξιοῦμεν μὴ κάμνειν σε μεμνημένον ἡμῶν. οὐ γὰρ ὠφέλεια μόνον ἡμῖν τῶν σῶν καταξιοῦσθαι γραμμάτων, ἀλλὰ καὶ καύχημα πρὸς τοὺς πολλοὺς, καὶ καλλώπισμα, ὅτι λόγος ἡμῶν ἐστι παρ' ἀνδρὶ τοσούτῳ τὴν ἀρετὴν καὶ τοσαύτην ἔχοντι πρὸς Θεὸν οἰκειότητα, ὥστε καὶ ἄλλους οἰκειοῦν δύνασθαι καὶ λόγῳ καὶ ὑποδείγματι.

a μνάομαι
b καταξιόομαι.
c περιπτύσσω.
d λαμβάνω.
* aliquid hîc subintelligendum.

* *
*



Grego-

Gregorius Euſebio Samoſatenſium Epiſcopo.

ET cùm ſcribis, & cùm noſtri memor es, lætitia nos afficis: &, quod hoc maius eſt, cùm nobis in literis benè precaris. Nos verò, ſi pro eo atque perpeſsiones tuæ, ac pro Chriſto & Chriſti cauſa ſuſcepta dimicatio meretur, hoc nobis concederetur, vt ad te vſque profecti, pietatem tuam complecteremur, & patientiæ in calamitatibus exemplum abs te caperemus, præclarè nobiſcum ageretur. Quoniam autem hoc bono indigni ſumus, vt qui multis afflictionibus & occupationibus exagitemur, quod ſecundum eſt, facimus, tuamq́ integritatem ac perfectionem ſalutamus teq́ ne noſtri recordatione defatigeris, oramus, atq; obſecramus. Neque enim tuæ literæ, cùm iis abs te donamur, nobis vtilitati duntaxat ſunt, ſed etiam gloriationi apud multos atq; ornamento: nempe quòd apud virum tanta virtute præditum, tantamq́ apud Deum coniunctionem ac familiaritatem habentem, vt alios etiam, tum ſermone, tum exemplo, Deo conciliare atque adiungere poſſit, aliquo loco ac numero ſimus.



Γρηγόριος τῷ Μεγάλῳ Βασιλείῳ.

15. Ἐπειδή σε [a] τεθέντα ἐπὶ τὸν ὑψηλὸν θρόνον [b] ἔγνων, καὶ τὸ πνεῦμα [c] ἐνίκησε, τὸν λύχνον ἐπὶ τῆς λυχνίας [d] δημοσιεῦσαν, οὐδὲ τὸ πρὶν ἀμυδρῶς λάμποντα, [e] ἥσθην μὲν ὁμολογῶ. τί δὲ οὐκ ἔμελλον, τὸ κοινὸν τῆς ἐκκλησίας ὁρῶν κακῶς ἔχον, καὶ τοιαύτης χρῇζον χειραγωγίας; [f] προσέδραμον δὲ οὐκ εὐθὺς, οὐδὲ προσδραμοῦμαι. μηδέ γε τοῦτο αὐτὸς [g] ἀπαιτήσῃς. πρῶτον μὲν ἵνα σοι τὸ σεμνὸν φυλάξω, καὶ μὴ συνάγειν δόξης σοῦ τὰς σπουδὰς, ὑπό τινος ἀπειροκαλίας καὶ θερμότητος, ὡς ἂν [h] φαῖεν οἱ ἐνδιαβάλλοντες. δεύτερον δὲ, ἵνα ἐμαυτῷ [i] πραγματεύσωμαι τὸ σταθερόν τε καὶ ἀνεπίφθονον. πότε οὖν [k] ἥξεις, τυχὸν [l] ἐρεῖς, καὶ μέχρι τίνος [m] ἀναδύσῃ; ἕως ἂν ὅτε θεὸς κελεύσῃ, καὶ [n] παρέλθωσιν αἱ σκιαὶ τῶν νῦν ἐπιτιθεμένων καὶ βασκαινόντων. οὐ γὰρ ἐπὶ πλεῖον [o] ἀνθέξουσιν οἱ λεπροὶ, σαφῶς οἶδα, τῷ Δαβὶδ τὴν ἱερουσαλὴμ ἀποκλείοντες.

a τίθεμαι.
b γινώσκω
c νικάω.
d δημοσιεύω.
e ἥδομαι.
f προστρέχω.
g ἀπαιτέω.
h φημὶ.
i πραγματεύομαι.
k ἥκω.
l εἴρω.
m ἀναδύομαι.
n παρέρχομαι.
o ἀντέχω.



Grego-

Gregorius Baſilio.

Poſteaquam te in ſublimi throno collocatum, ac lucernam ne illam quidem priùs obſcurè lucentem à ſpiritu victore ſupra candelabrum oculis omnium expoſitam eſſe intellexi, lætatus ſum, fateor. quid ni enim cum Eccleſiæ corpus malè affectum eſſe, atq; huiuſmodi ductu & auxilio opus habere conſpicerem? Non tamen ad te ſtatim aduolaui, nec aduolabo: nec ipſe id à me expoſcas velim. Primum, vt authoritatem & venerationem tibi ſartam tectamq; cuſtodiam: ac ne præ ineptia quadam & animi feruore, quemadmodum obtrectatores dicere queant, tui ſtudioſos colligere videaris. Deinde vt mihi ipſi ſtabilitatem comparem inuidiæq; occurram. Quando igitur venies, fortaſſe dixeris, & quandiu cunctaberis? Quoad Deus iuſſerit, atque eorum, qui nunc inſidiantur, & inuidia laborant, vmbræ præterierint. Non enim diutius, ſat ſcio, leproſi reſiſtent, Dauidem Hieroſolymis excludentes.

Γρηγόριος Νεκταρίῳ.

Τὰ μὲν καθ' ἡμᾶς ἔχει, ὡς ἔχει, ἄνευ πολέ- 16.
μου καὶ πραγμάτων καθήμεθα, σιωπῆς ἀ-
κίνδυνον γέρας ἀντὶ πάντων τιμήσαντες. καί τι
καὶ [a] ὠνάμεθα τῆς ἡσυχίας, ἐλέῳ θεοῦ ἱκανῶς a ὄνημι.

b ἀναφέρω c κατευοδόομαι. d συνδιέπω e δίδωμι. f ἐπινεύω. g προσίεμαι. h θέλω. i συνίστημι. k τυγχάνω.

τῆς ἀῤῥωςίας [b] ἀνενεγκόντες. σὺ δὲ [c] κατευοδοῦ καὶ βασίλευε, ὡς ὁ θεῖος Δαβὶδ φησι. καί σοι [d] συνδιέποι τὴν ἱερωσύνην ὁ τιμήσας θεὸς, πάσης ἐπηρείας ὑψηλοτέραν ταύτην χαριζόμενος. ἵνα δὲ τοῦ θαῤῥεῖν ἀλλήλοις ἀπόδειξιν [e] δῶμεν, καὶ μή τι πάσχωμεν ἀνθρώπινον θεῷ παριστάμενοι, ἐγὼ μὲν ταῦτα πρεσβεύω πρὸς σὲ, σὺ δέ μοι προθύμως [f] ἐπίνευσον. τοῦ γνησιωτάτου γὰρ ὑμῶν Παγκρατίου κηδόμεθα, πολλῶν ἕνεκεν ἀναγκαίως τοῦτο ποιοῦντες. τοῦτον καὶ [g] προσίεσθαι [h] θέλησον εὐμενῶς, καὶ [i] συστῆσαι τῶν φίλων τοῖς σπουδαιοτέροις, ὥστε τοῦ σκοποῦ [k] τυχεῖν. ὁ δὲ σκοπὸς, στρατεία τινὶ τὴν ἀπραγμοσύνην λαβεῖν. ἐπεὶ μηδὲ εἰς βίος ἀνεπηρέαστος, τοῖς πονηροῖς. ὃ καὶ αὐτὸς γινώσκεις.

Gregorius Nectario.

Res nostræ se habent, vt habent. Sine bello & negotiis sedemus, silentij præmium ab omni periculo vacuum, omnibus rebus anteponentes. Quin ex hac etiam quiete nonnihil fructus cepimus, nimirum ex morbo Dei misericordia vtcunque recreati. Tu verò prosperè incede & regna, vt Dauidis verbis vtar: at Deus sacerdotium istud, quo te ornauit, tecum gubernet, atque omni calumnia & vexatione subli-

ſublimius præbeat. Vt autem mutuæ vtrinque fiduciæ argumentum demus, nec, cùm Deo aſtemus, humano quodam affectu ducamur, hanc quidem deprecationem ad te affero, tu verò promptè & libenter annue. Multæ nos cauſæ neceſſariò impellunt, vt ſynceriſsimo veſtro filio Pancratio conſultum velimus. Quamobrem abs te peto, vt & benigno eum animo admittas, & optimo cuique amicorum commendes, vt ſcopum eum, quem ſibi proponit, aſſequatur. Eſt autem hic ſcopus, vt per quoddam militiæ genus immunitatem à negotiis accipiat. quandoquidem ne genus quidem vitæ vllum eſt ab improborum iniuria liberum, quemadmodum ipſe quoque noſti.

Γρηγόριος Φιλαγρίῳ.

Καισάρειον οὐκ ἔχω· ([a] ἐρῶ γάρ, καὶ εἰ μὴ φι- 17.
λόσοφον τὸ πάθος) στέργω τὰ καισαρείου, a εἴρω.
καὶ ὅ,τι ποτ' ἂν [b] ἴδω καισαρείου γνώρισμα, καὶ b εἴδω.
περιπτύσσομαι καὶ ἀσπάζομαι, καὶ οἱονεὶ αὐτὸν
ὁρᾶν δοκῶ, καὶ [c] συνεῖναι καὶ διαλέγεσθαι· καὶ c σύνειμι.
οἷον [d] ἔπαθον νῦν ἐπὶ τοῖς σοῖς γράμμασιν. ὁ- d πάσχω.
μοῦ γε [e] ἀνέγνων τὸ πρόγραμμα τῆς ἐπιστολῆς, e ἀναγι-
τὸ γλυκύ μοι πρᾶγμα καὶ ὄνομα τοῦ Φιλαγρίου, νώσκω.
καὶ πάντα μοι ἀθρόως [f] ὑπεισῆλθε τὰ ποτὲ τερ-
πνά, αἱ πόλεις, αἱ διατριβαί, ἡ τράπεζα, ἡ πενία. f ὑπεισέρ-
χομαι.

τὰ τῆς

τὰ τῆς ἐρατεινῆς ὁμηλικίης, ὅ φησιν Ὅμηρος, ἢ παίγνια, ἢ σπουδάσματα, οἱ τῶν λόγων ἱδρῶτες. οἱ κοινοὶ παιδευταὶ, τὸ τῶν ἐλπίδων ὕψος, πάντα ὅσα ἂν εἴποι τις τῶν τηνικαῦτα καλῶν. οἷς ἐγὼ
g μνάομαι. χαίρω διαφερόντως, καὶ [g] μεμνημένος. ἵν᾽ οὖν
h ὁμιλέω. ἔτι μᾶλλον [h] ὁμιλῶμεν τούτοις διὰ σοῦ, κίνει τὴν γραφίδα καὶ χαρίζου τὸ ἐπιστέλλειν. πάντως οὐ-
i ἁρπάζω. δὲ τοῦθ᾽ ἡμῖν μικρὸν, εἰ καὶ τὸ μέγιστον [i] ἥρπασεν
k διατίθημι. ἡμῶν ὁ φθόνος, τὴν συνουσίαν, λυπηρῶς [k] διαθεὶς τὰ ἡμέτερα.

Gregorius Philagrio.

Τὰς μὲν ἄλλας χάριτας, ὅσων [a] ἔτυχον, 40. [b] εἰληφὼς οἶδα παρὰ τῆς σῆς ἡμερότητος. καί σε ἀντὶ τούτων [c] ἀμείψαιτο τοῖς παρ' ἑαυτοῦ χρηστοῖς ὁ Θεός. ἐν δὲ τῶν χρηστῶν εὐδόκιμον καὶ λαμπρὸν [d] διεξελθεῖν τὴν ἀρχήν. ἣν δὲ νῦν αἰτῶ, [χάριν] δώσων ἔρχομαι μᾶλλον, ἤπερ [e] ληψόμενος, εἰ μὴ φορτικὸν εἰπεῖν. τὴν ἀθλίαν φιλουμένην δι' ἑαυτοῦ προσάγω σοι, καὶ τῇ σῇ δίκῃ [f] προσπεσουμένην, καὶ ὑμῖν τὰ δάκρυα [g] στήσουσαν οἷς συντρίβει τὴν ἡμετέραν ψυχήν. ἃ μὲν οὖν [h] ἠδίκηται καὶ παρ' ὧν, αὐτὴ δηλώσει. οὐ γὰρ ἡμῖν γε κατηγορεῖν οὐδενὸς ἀσφαλές. αὐτὸ δὲ τοσοῦτον εἰπεῖν ἀναγκαῖον, ὅτι χηρεία καὶ ὀρφανία, πᾶσι μὲν [i] βοηθητέα τοῖς γε νοῦν ἔχουσι, μάλιστα δέ, οἷς γυνὴ καὶ τέκνα ἐν μέσῳ, τὰ μεγάλα τοῦ ἐλεεῖν ἐνέχυρα· ἐπειδήγε ἀνθρώποις δικάζομεν, ὄντες ἄνθρωποι. ἡμῖν δὲ συγγνώμη τοῦ δι' ἐπιστολῶν ταῦτα πρεσβεύειν, ἐπειδήγε τῷ ἀρρωστεῖν ζημιούμεθα ἄρχοντος οὕτω δεξιοῦ, καὶ οὕτω θαυμαστοῦ τὴν ἀρετήν, ὡς καὶ τὰ προοίμια τῆς σῆς ἀρχῆς εἶναι τιμιώτερα τῆς διὰ τέλους ἑτέρων εὐδοκιμήσεως.

a τυγχάνω.
b λαμβάνω.
c ἀμείβομαι.
d διεξέρχομαι.
e λαμβάνομαι.
f προσπίπτομαι.
g ἵστημι.
h ἀδικέομαι.
i βοηθέω.

Gregorius Olympio.

Alia omnia beneficia, quæ consecutus sum, à tua mansuetudine me accepisse scio. Ac velim Deus pro his tibi bona sua rependat, atque inter cætera illud, vt imperij curriculum cum splendore atq; gloria conficias. Quod autem nunc abs te peto, est eiusmodi, vt daturus ipse potiùs sim, quàm accepturus, nisi tamen hoc arrogantius à me dicatur. Miseram Philumenam manu mea tibi offero, vt ad iustitiæ tuæ pedes sese prouoluat, ac vobis lachrymas eas sistat, quibus animum nostrum conficit. Atque ea quidem iniurias, quas accepit, & à quibus, ipsa exponet. Neque enim mihi quenquam accusare tutum est. Hoc vnum duntaxat dicere necesse est, quòd viduitas & orbitas, cùm omnium, qui quidem mente præditi sint, ope atq; auxilio iuuari debeant, tum eorum præsertim, quibus & vxor, & liberi, in medio sunt, magna, inquam, hæc commiserationis pignora. Quandoquidem hominibus ius dicimus, cùm ipsi quoque homines simus. Nobis autem, quòd per epistolam hæc abs te petimus, velim ignoscas. Quandoquidem ob aduersam valetudinem Præside tam dextro atque commodo priuamur, tamq; admirabili virtute prædito, vt imperij quoque tui præludia gloriam eam, quam alij toto imperij sui tempore consequuntur, antecellant.

Τῷ

Τῷ αὐτῷ.

Τί τὸ πολλὰ [a] παθεῖν, καὶ τὸ εὖ παθεῖν τοῖς ἀν- 41.
θρώποις χαρίζεται; διδάσκει φιλανθρω- a πάσχω.
πίαν, καὶ κλίνει τοῖς δεομένοις. οὐδὲ γὰρ τοιοῦτον παί-
δευμα πρὸς τὸ ἐλεεῖν, ὡς τὸ [b] προλαβεῖν χρηστό- b προλαμ-
τητα. τοῦτο καὶ αὐτῷ μοι [c] συμβέβηκεν. [d] ἔμαθον βάνω.
τὸ συμπαθὲς ἐξ ὧν ἔπαθον. καὶ ὁρᾷς τὸ ἡμέτερον c συμβαί-
μεγαλόψυχον; αὐτὸς χρήζων τῆς σῆς ἡμερότητος νω.
ἐν τοῖς ἐμοῖς πράγμασιν, ὑπὲρ ἄλλων πρεσβεύω. d μανθάνω
καὶ οὐ [e] δέδοικα μὴ [f] δαπανήσω σου τὸ φιλάνθρω- e δείδω.
πον ἐν τοῖς ἀλλοτρίοις. γράφω δὲ ταῦτα περὶ τοῦ f δαπανάω
πρεσβυτέρου Λεοντίου (εἴτ' οὖν ποτε πρεσβυτέρου) ὃς
εἰ μὲν ἄξια πέπονθεν ὧν πεποίηκεν, ἐνταῦθα [g] στῶ- g ἵσταμαι.
μεν, μὴ τὸ ὑπερβάλλον ἀδικία γένηται. εἰ δὲ τῇ τι-
μωρίᾳ προσχρεωστεῖται, καὶ οὕτω τοῖς ἁμαρτήμα-
σι τὰ τῆς ὕβρεως [h] ἀντισώθη, τοῦτον ἡμῖν [i] συγχώ- h ἀντισόο-
ρησον, καὶ τῷ θεῷ, καὶ τῷ βήματι, καὶ τῷ κοινῷ συλ- μαι.
λόγῳ τῶν ἱερέων, οἷς ποτε [k] συνηρίθμηται, καὶ i συγχω-
εἰ νῦν ἀνάξιον ἑαυτὸν [l] ἀπέφηνεν, οἷς τε πεποίη- ρέω.
κεν, οἷς τε πέπονθεν. εἰ μὲν οὖν πείθομεν, τοῦτο ἄρι- k συναριθ-μέομαι.
στον. εἰ δὲ μή, προσάγομέν σοι παιδευτὴν αἰδε- l ἀποφαί-
σιμώτερον, τὸν κοινωνόν σοι καὶ τῆς ἀρχῆς νω.
καὶ τῆς εὐδοξίας.

* * *

Eidem.

QVid, multa pertulisse, & beneficia accepisse, hominibus affert? humanitatem ac misericordiam docet, efficitq; vt ad eos sese inflectant, qui ipsorum ope indiget. Neq; enim vllum tantum ad concipiendam miserationem documentum est, vt benignitatem priùs accepisse. Hoc mihi vsu venit. Ex iis, quæ perpessus sum, commiserationem didici. Ac vidésne meam animi magnitudinem? Cùm mansuetudine tua in meis rebus egeam, pro aliis deprecor: nec metuo, ne benignitatem tuam in alienis rebus exhauriam. Hæc autem de Leontio presbytero scribo, vel, vt sic loquar, quondam presbytero. qui, si dignas scelerum pœnas dedit, hîc consistamus; ne id, quod ad supplicij magnitudinem accesserit, in iniquitatem degeneret. Sin autem aliquid insuper pœnæ addi debet, & ita scelerum atrocitatem contumeliæ grauitas adæquauit, hunc nobis concede, ac Deo & sacrario, communiq; sacerdotum cœtui, quorum numerum aliquando auxit, etsi nunc, tam per ea quæ patrauit, quàm quæ perpessus est, indignum se eo honoris gradu reddidit. Si te his verbis permouemus, optimè se res habet. Sin minùs, augustiorem præceptorem tibi adhibemus, eum nempe, quem & imperij & gloriæ socium & consortem habes.

Γρηγόριος Τιμοθέῳ.

Ἔχω τι τῆς ἐπιστολῆς, ὦ θαυμάσιε, ὄφελος, καὶ οὐ μικρὸν ἴσως, ὡς δεινὸς τῶν τοιούτων θεραπευτής. [a] ἐξέκρουσέ σοι τὴν λύπην ἡ ἐπιτίμησις, καὶ τοῦ πάθους τὸ ἐρυθριᾶν [b] ἀντεισῆλθε· καὶ πρὸς ἀντίρρησιν [c] διανίστασαι εὖ μάλα σοφιστικῶς καὶ γυναίως· καί μοι δοκεῖς καθάπερ οἱ Ἀχιλλέως ἵπποι παρ' Ὁμήρῳ τὴν κεφαλὴν [d] διάρας, καὶ τὴν κόνιν [e] ἀποσειόμενος (ἐπειδὴ οὐ [f] ἀποπενθεῖν Πάτροκλον καιρὸς ἦν) αὖθις πεδίων ἐπιθυμεῖν, καὶ ὅπλων καὶ ἐπιδείξεων. οὕτως σοι τὸ γράμμα τὸ πρὸς ἡμᾶς λαμπρὸν καὶ φιλότιμον καί τι καὶ πληκτικόν· εἴ τι ἐγὼ συνίημι. ἀνδρίζου μόνον καὶ φιλοσόφει κατὰ τοῦ πάθους· καὶ ἡμεῖς δεξόμεθα μὴ μέγα εἶναι τὸ ἀπὸ γῆς κρίνειν τοὺς πλέοντας, καὶ μεῖζον εἶναι τὸ ἀγωνίζεσθαι, ἢ ἀλείφειν πρὸς συμφοράς. εἰ μή τις ἐκεῖνο λέγοι, ὅτι οὔτε σοι τοῦ ἀγωνίζεσθαι, ἢ ἀνάγεσθαι ἀνάγκη τις ἦν. εἴπερ κρεῖττόν τι φιλοσοφία τῶν ἐν οἷς εἰ νῦν. ἡμῖν τε πρὸς πολλὰ καὶ πολλάκις καὶ ὅλον οἶμαι τὸν βίον ἡ παράταξις, ἐν οἷς εἰ μὴ λίαν ἀμαθῶς, μηδὲ ἀνάνδρως ἀλείφωμεν, ἢ ἀγωνιζώμεθα. πολλοὶ δοκιμάζουσιν. 42.

a ἐκκρούω.
b ἀντεισέρχομαι.
c διανίσταμαι.
d διαίρω.
e ἀποσείομαι.
f ἀποπενθέω.

Eidem.

Gregorius Timotheo.

Nonnihil fructus, vir eximie, imò etiam haud parùm fortasse, ex epistola mea percepi, vtpote peritus huiusmodi morborum medicus. Mœrorem tibi obiurgatio extrusit, dolorisq́; locum pudor occupauit: atque ad repugnandum excitatus es, perquàm sophisticè sanè & strenuè. Ac mihi videris, quemadmodum apud Homerum Achillis equi, sublato in altum capite, atq; excusso puluere (quandoquidem iam tempus postulabat, vt Patrocli mortē lugere desineret) camporum rursus & armorum, & ostentandi ingenij cupiditate flagrare. Adeò luculentæ & ambitiosæ, ac nonnihil etiam aculeatæ tuæ ad me literæ sunt: si quid tamen te intelligo. Verùm illud modò tibi curæ sit, vt aduersus mœrorem, fortem & philosophicum animum adhibeas: & nos illud æquo animo accipiemus, haud magnum esse, è terra de nauigantibus iudicium ferre, maiusq́; esse dimicare, quàm ad perferēdas calamitates alios cohortari. Nisi quis illud dicat, quòd tibi ne dimicare quidem, aut mare conscendere necesse erat: si quidem philosophia præstantior quædam res est, quàm ea sint, in quibus nunc versaris. Nobis cōtrà aduersus multa, & sæpè, imò per totum, vt puto, vitæ tempus dimicatio est, in quibus, num inscitè atq; ignauè alios ad pugnandum acuamus, aut etiam ipsi pugnemus, multi explorant.

Γρηγό-

Γρηγόριος Ἀφρικανῷ.

Τίσιν ἵπποι μάλιστα χαίρουσιν; δῆλον, ὡς ἵπ- 43.
ποις. ἀετοὶ δὲ τίσιν; οὐκ ἄλλοις ἢ αὐτοῖς. κολοιὸν δὲ
ποτὶ κολοιὸν ἱζάνειν καὶ τῆς παροιμίας ἀκούεις. οὕτω
δὴ καὶ ἀττικὸν ἀττικοῖς οἴου χαίρειν, καὶ τὸν καλοκἀ-
γαθίας μεταποιούμενον, τῷ ταύτης ἐραστῇ καὶ προ-
στάτῃ. τοῦτον γὰρ ὁ ἄρχων εἶναί μοι φαίνεται, βοη-
θὸς ἀρετῆς καὶ ἀνταγωνιστὴς κακίας, κἂν τὴν ἀναί-
μακτον ἀρχὴν ἀρχῇ, καθάπερ ἡμεῖς· κἂν τὴν μετὰ
ξίφους καὶ τελαμῶνος. αἷμα γὰρ οὐδέ σοι [a] προ- a προσί-
σθήσομεν, ἀρετῇ κρατοῦντα γινώσκοντες, οὐ βίᾳ θημι.
καθείργοντα, καὶ φόβῳ μᾶλλον, ἢ ἔργῳ κολά-
ζοντα τοὺς κακούς. ὅπερ τῆς ἀρίστης ὅρος ἀρχῆς.
διὰ δὴ ταῦτα, σφόδρα μὲν τὸ τῆς συντυχίας ἐ-
σπουδάζετό μοι, καὶ νῦν ἔτι σπουδάζεται. οὐκ ἔ-
χων δὲ ὅπως τούτου [b] τύχοιμι διὰ τὴν ἀῤῥωστίαν, b τυγχά-
ἀναγκαίως [c] ἦλθον ἐπὶ τὰ πράγματα, καὶ τὸ νω.
κάλλιστον, ὅτι προσφθέγγομαί σε δι' ἀνδρὸς οἰ- c ἔρχομαι.
κείου καὶ φίλου καὶ συγγενοῦς τοῦ τιμιωτάτου πάντα
ἐμοὶ Νικοβούλου, ὃς καὶ [d] ἀπολογήσεταί σοι περὶ d ἀπολο-
ἡμῶν (ἀξιόπιστος δὲ ὁ ἀνήρ, εἴπερ ἄλλος τις, ὅσα γέομαι.
δὴ ἐμὲ γινώσκειν) καὶ δι' ἡμῶν ἑαυτὸν γνω-
ρίσει τῇ σῇ τελειότητι.

Grego-

Gregorius Africano.

QVibus nam rebus equi maximè gaudent? non dubium quin equis. Quibus aquilæ? aquilis profectò. Graculum porrò graculo aßidere ipsa quoque parœmia docet. Eodem proinde modo Atticum quoque Atticis oblectari puta, & probitatis studiosum eius amatore & antistite. Nam mihi præses nihil aliud esse videtur, quàm virtutis adiutor, & vitij aduersarius, siue incruentum imperium gerat, vt nos; siue id, quòd gladium & lorum iunctum habet. Cruorem enim tibi minimè adiiciemus, quippe quem virtute imperium tenere scimus, non vi cohibere, ac metu potiùs, quàm suppliciis, improbos coërcere: quæ quidem optimi imperij lex est. His itaque de causis magnoperè quidem congressum tuum expetebam, ac nunc etiam expeto. Verùm quia per aduersam valetudinem id mihi consequi non licet, necessariò ad res ipsas veni, &, quod commodissimum est, te per vnum amicum & familiarem, ac cognatum, saluto, hoc est, per charissimum mihi Nicobulum, qui & me apud te excusabit (vir autem est fide dignus, si quisquam alius, quantum quidem ipse cognosco) & per nos sese præstantiæ tuæ noscendum præbebit.

***

Nικο-

Νηκοβούλῳ ὀνειδίσαντι ἐπὶ ἡλικίᾳ τὴν ἰδίαν γαμετὴν Ἀλυπιανήν. ἡ αὐτὴ δὲ θυγάτηρ Γοργονίας, ἀδελφῆς τοῦ μακαρίου Γρηγορίου.

Σκώπτεις τὴν Ἀλυπιανὴν ἡμῖν, ὡς μικράν, καὶ 44.
τῆς σῆς μεγαλειότητος ἀναξίαν ὦ μακρὲ σὺ καὶ ἀμέτρητε, καὶ πελώριε, τό, τι εἶδος καὶ τὴν ἀλκήν. νῦν [a] ἔγνων ὅτι ψυχὴ μετρεῖται, καὶ ἀρετὴ ταλαντεύεται. καὶ τιμιώτεραι τῶν μαργάρων αἱ πέτραι, καὶ κόρακες ἀηδόνων αἰδεσιμώτεροι. Σὺ μὲν οὖν ἀπόλαυε τοῦ μεγέθους καὶ τῶν πηχῶν, καὶ μηδὲν [b] λείπου τῶν Ἀλωειδῶν ἐκείνων. ἵππον γὰρ ἄγεις, καὶ τινάσσεις αἰχμήν, καὶ θῆρές σοι μέλουσι. τῇ δὲ, οὐδὲν ἔργον, οὐδὲ πολλῆς τῆς ἰσχύος κερκίδα φέρειν, καὶ ἠλακάτην μεταχειρίζεσθαι, καὶ ἱστῷ προσκαθέζεσθαι.

τὸ γὰρ γέρας ἐστὶ γυναικῶν.

Εἰ δὲ καὶ τοῦτο [c] προσθείης, ὅτι τῇ γῇ [d] προσκέκυφε δι' εὐχήν, καὶ Θεῷ συνέστιν ἀεὶ τοῖς μεγάλοις τοῦ νοῦ κινήμασι, τί σοὶ ἐνταῦθα τὸ ὕψος, ἢ τὰ μέτρα τοῦ σώματος; ἴδε καίριον σιωπήν. φθεγγομένης ἄκουσον· τὸ ἀκαλλώπιστον κατανόησον· τὸ ὡς γυναιξὶν ἀνδρικόν, τὴν οἰκωφελίαν, τὴν φιλανδρίαν· καὶ τότε φήσεις τὸ τοῦ

λάκω-

a γινώσκω.
b λείπομαι.
c προστίθημι.
d προσκύπτω.

λάκωνος, ὄντως οὐ μετρεῖται ψυχὴ, καὶ δεῖ τὸν ἐκτὸς ἐόντα, πρὸς τὸν ἐντὸς βλέπειν ἄνθρωπον.
e σκοπέω. ἂν οὕτω ταῦτα [e] σκοπῇς, [f] παύσῃ τοῦ παίζειν καὶ
f παύομαι καταπαίζειν αὐτῆς ὡς μικρᾶς, καὶ σαυτοῦ μακαριεῖς τὴν συζυγίαν.

Nicobulo, cùm Alypianæ suæ vxori, Gorgoniæ D. Gregorij sororis filiæ, corporis staturam exprobraret.

ALypianam apud nos cauillis incessis, vt paruam, ac tua proceritate indignam, ô magne, & vaste, ac gigantine, tum forma, tum robore. Nunc demum intellexi animum mensuræ subiici, & virtutem expendi, ac rupes margaritis præstantiores esse, coruosq; lusciniis augustiores. Tu verò magnitudine tua & cubitis fruere: nec Aloidis illis vllo modo inferiorem te præbe. Equum enim ducis, & hastam vibras, & feræ tibi curæ sunt. Ipsa autem nil operis patrat: nec magni roboris est radium ferre, & colum tenere, ac telæ assidere.

Id enim fœminarum decus est.

Quòd si hoc quoq; adiicias, eam orationis causa humi curuam esse, ac per ingentes mentis agitationes perpetuam cum Deo consuetudinem habere, quid hîc de tua sublimitate, corporisq; mensura te iactabis? Vide tempestiuum [ipsius] silentium: loquentem audi: quàm

quàm incompta ſit, animaduerte; quàm, vt fœmina, fortis ac ſtrenua; quas rei domeſticæ vtilitates afferat, quàm viri amans ſit. Ac tum illud Lacônis dices: certè animus in menſuram minimè cadit, atque externum hominem oculos in internum coniectos habere oportet. Si hæc ad hunc modum conſideres, iocari deſines, eamq́; vt paruam deridere: tuumq́; coniugium fauſtum ac fœlix iudicabis.

Γρηγόριος Ἀμφιλοχίῳ.

[a] Πληρώσαι κύριος πάντα τὰ αἰτήματά σου. 45.
καὶ μὴ [b] ἀπαξιώσῃς πατρὸς εὐχήν. ἱκανῶς γὰρ τὸ γῆρας ἡμῶν [c] ἀνέπαυσας, καὶ γενόμενος μέχρι Παρνασσοῦ, καθὼς [d] παρεκλήθης, καὶ τὴν [e] ἐπενεχθεῖσαν τῷ τιμιωτάτῳ καὶ θεοφιλεστάτῳ Ἐπισκόπῳ συκοφαντίαν [f] ἐλέγξας· ἐπειδὴ φιλοῦσιν οἱ πονηροὶ τὰς ἑαυτῶν αἰτίας περιτρέπειν εἰς τοὺς ἐλέγχοντας. ἰσχυρότερος μὲν γὰρ πάσης κατηγορίας ὁ χρόνος τοῦ ἀνδρὸς, καὶ ὁ βίος, καὶ ἡμεῖς οἱ πολλάκις τὰ αὐτοῦ καὶ ἀκούσαντες καὶ διδάξαντες, οἵ τε ἐκ τῆς πλάνης [g] ἐπαναχθέντες, καὶ [h] προστεθέντες τῷ κοινῷ σώματι τῆς ἐκκλησίας. [i] ἐδεῖτο δὲ ὅμως πονηρὸς ὁ καιρὸς ὢν καὶ ἀκριβεστέρας ἀποδείξεως, διὰ τοὺς ἐπηρεαστὰς καὶ κακοήθεις, ἣν αὐτὸς ἡμῖν [k] ἐχαρί-

a πληρόω.
b ἀπαξιόω
c ἀναπαύω
d παρακαλέομαι.
e ἐπεμφέρομαι.
f ἐλέγχω.
g ἐπανάγομαι.
h προστίθεμαι.
i δέομαι.
k χαρίζομαι.

σω, μᾶλλον δὲ καὶ τοῖς κουφοτέροις, καὶ ῥᾳδίως ὑπὸ τῶν τοιούτων [l] ἀπατωμένοις. ταῦτα δὲ εἰ [m] θελήσειας, καὶ μακροτέραν ὁδὸν [n] ὑποστὰς διὰ σεαυτοῦ [o] μαρτυρῆσαι, καὶ [p] διαιτῆσαι τοῖς [q] ἀμφισβητουμένοις, μετὰ τῶν λοιπῶν ἐπισκόπων, ἔργον ποιήσεις πνευματικὸν, καὶ τῆς σῆς τελειότητος ἄξιον. τὴν σὴν σοι ἀδελφότητα, ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πάντες προσαγορεύομεν.

l ἀπατάω.
m θέλω.
n ὑφίσταμαι.
o μαρτυρέω.
p διαιτάω.
q ἀμφισβητέομαι.

Gregorius Amphilochio.

IMpleat Dominus omnes petitiones tuas. (ne Patris votum dedigneris.) Abundè quippe senectutem nostram recreasti, dum & Parnasum vsque, quemadmodum abs te precibus petitum erat, profectus es, & illatam cùm primis honorando ac Deo charo Episcopo calumniam refutasti. Quandoquidem improbi homines hoc libenter faciunt, vt culpas suas in eos, à quibus arguuntur, conuertant. Quanquam enim ipsius ætas, & vita omni accusatione valentior est, & nos, qui sæpè ipsius res audiuimus, aliosq́ docuimus, & ij, qui ex errore reuocati sunt, communiq́ Ecclesiæ corpori adiuncti: accuratiori tamen ac certiori argumento propter calumniatores tempus hoc, vtpote malum, indigebat. quod quidem tu nobis, vel iis potiùs,

qui

qui animi leuitate laborant, atque ab huiuſmodi hominibus facilè in fraudem inducuntur, præbuiſti. Hæc autem ſi longiore quoque itinere ſuſcepto ipſemet pro teſtimonio dicere, ac cum cæteris Epiſcopis hanc controuerſiam diſceptare volueris, ſpirituale opus feceris, tuaq́; integritate dignum. Fraternitatem, quæ tecum eſt, ego, & omnes, qui mecum ſunt, ſalutamus.

Γρηγόριος Ὀλυμπίῳ.

Ὄναρ [a] ἠυθύμησα. καὶ γὰρ μέχρι τῆς μονῆς [b] ἐνεχθεὶς, ὥστε τινὸς ἐκ τοῦ λουτροῦ παραμυθίας [c] τυχεῖν, εἶτα τὴν σὴν συντυχίαν ἐλπίσας, καὶ ὥσπερ ἐν χερσὶν ἔχων ἤδη τὸ ἀγαθὸν, καί τινας ἡμέρας προσδιατρίψας, ἐξαίφνης [d] ἀπηνέχθην ὑπὸ τῆς ἀῤῥωστίας, τὰ μὲν ἤδη [e] λυπούσης, τὰ δὲ, [f] ἀπειλούσης. καὶ εἰ δεῖ τινα εἰκασίαν [g] εὑρεῖν τῷ πάθει, ταυτὸν [h] ἔπαθον τοῖς πολύποσιν, οἳ βίᾳ τῶν πετρῶν [i] ἀποσπώμενοι, κινδυνεύουσι καὶ τὰς κοτύλας πολλάκις, ὧν τι [k] ἀφιᾶσι ταῖς πέτραις, ἤτι παρ' αὐτῶν προσλαμβάνουσι. τὸ μὲν οὖν ἡμέτερον τοιοῦτον. ἃ δ' αὖ παρὼν [l] ἐδεήθην τῆς σῆς καλοκἀγαθίας, ταῦτα 46.

a εὐθυμέω
b φέρομαι.
c τυγχάνω.
d ἀποφέρομαι.
e λυπέω.
f ἀπειλέω.
g εὑρίσκω.
h πάσχω.
i ἀποσπάομαι.
k ἀφίημι.
l δέομαι.

καὶ ἀπῶν ἐθάῤῥησα. τὸν γὸν Νικόβελον σφόδρα βέβαιον τῇ τοῦ δρόμου φροντίδι, καὶ τῇ τῆς μονῆς προσεδρείᾳ στενοχωρούμενον, ἄνθρωπον καὶ ἀσθενῆ καὶ τῶν τριῶν ἀήθη, καὶ τὴν ἐρημίαν οὐ φέροντα. τούτῳ πρὸς ἄλλο μὲν πᾶν, ὅ, τι ἂν ᾖ φίλον, [m] χρήσασθαι θέλησον (καὶ γὰρ πρόθυμος εἰς πάντα ὑπηρετεῖν τῇ σῇ ἐξουσίᾳ) ταύτης δὲ, εἰ δυνατὸν, [n] ἐλευθέρωσον τῆς φροντίδος, εἰ μή τι ἄλλο, καὶ ὡς ἡμέτερον τιμῶν νοσοκόμον. ἐπειδὴ πολλὰ καὶ περὶ πολλῶν δεηθέντες, καὶ [o] τυχόντες, χρήζομεν καὶ εἰς ἡμᾶς αὐτοὺς τῆς σῆς ἡμερότητος.

m χρῆσθαι. n ἐλευθερόω. o τυγχάνω.

Gregorius Olympio.

Velut per somnium hilari animo fui. Nam cùm vsque ad monasterium delatus essem, vt nonnihil solatij ex balneo consequerer, ac deinde congressum tuum spe concepissem, iamq; hoc bonum velut manibus tenerem, atque aliquot dies illic exegissem, repentè ob morbum, qui partim iam mihi negotium facessebat, partim minabatur, ablatus sum. Ac si huic rei, quæ mihi accidit, imaginem quandam & similitudinem inuenire oportet, idem mihi, quod polypis, vsu venit, qui cùm per vim à rupibus auelluntur, persæpe de acetabulis quoque in periculum veniunt, quippè quorum nonnihil rupibus relinquunt, aut ab illis aliquid assumunt. Atq; huiusmodi quiddam

dam

dam nobis contigit. Quæ autem à tua probitate coràm petiissem, hæc absens quoque petere non dubitaui. Filium nostrum Nicobulum, tum cursus sollicitudine, tum assidua in monasterio commoratione valde pressum offendi, hominem & infirmis viribus, & rerum huiusmodi insolentem, & solitudinem minimè ferentem. Huius opera ad quamcunque aliam rem tibi cordi fuerit, vtaris velim (siquidem ad omnia prompto atque impigro animo tibi operam nauabit) hac autem cura, si fieri potest, eum libera: si non aliam vllam ob causam, saltem vt hoc honoris ei habeas, qui me ægrotantem curat. Quandoquidem cùm multa pro aliis abs te petierimus, atque obtinuerimus, tua quoque erga nos ipsos mansuetudine opus habemus.

Γρηγόριος Μεγάλῳ Βασιλείῳ.

Πῶς [a] ἐπιφυλλὶς ἡμῖν τὰ σά, ὦ θεία καὶ ἱερὰ κεφαλή; [b] ποῖόν σε ἔπος [c] φύγεν ἕρκος ὀδόντων; ἢ πῶς τοῦτο εἰπεῖν [d] ἐθάρσησας; ἵνα τι καὶ αὐτὸς θαῤῥήσω μικρόν. πῶς ἡ διάνοια [e] ὥρμησεν; ἢ μέλαν ἔγραψεν; ἢ χάρτης [f] ἐδέξατο; ὦ λόγοι, καὶ ἀθλῶαι, καὶ ἀρεταὶ, καὶ λόγων ἱδρῶτες. μικρὸν γάρ με καὶ τραγῳδεῖν, οἷς γρά- 47.

a ἐπιφυλλὶς, exiguus est racemus post vindemiam relictus: Metaphoricè verò quicquid contemptui est. b Homerica phrasis. c φθέγγω. d θαρσέω. e ὁρμάω. f δέχομαι.

g ἀγνοέω. φεὺς, ποιεῖς. πότερον ἡμᾶς [g] ἀγνοεῖς, ἢ σεαυτόν; ὁ τῆς οἰκουμένης ὀφθαλμὸς, ἡ μεγάλη φωνὴ καὶ σάλπιγξ, τὸ τῶν λόγων βασίλειον. μικρὰ Γρηγορίῳ τὰ σά; τί οὖν τις ἄλλο θαυμάσειεν τῶν ἐπὶ τῆς γῆς, εἰ μή σε Γρηγόριος; ἓν μὲν ἔαρ ἐν ὥραις, εἷς δὲ ἥλιος ἐν ἄστρασιν, εἷς δὲ περιέχων ἅπαντα οὐρανός. μία δὲ κατὰ πάντων φωνὴ ἡ σὴ εἴπερ τι ἐγὼ ἱκανὸς τὰ τοιαῦτα κρίνειν, μηδὲ ἀπατᾷ με τὸ φίλτρον, ὅπερ οὐκ οἴομαι. εἰ μὲν ὅτι μὴ πρὸς ἀξίαν θαυμάζομεν, τοῦτο ἐγκαλεῖς, ἐγκαλεῖς καὶ πᾶσιν ἀνθρώποις. οὐδὲ γὰρ ἄλλος τις ἀξίως ἐθαύμασεν ἢ θαυμάσει σε, ὅτι μὴ σὺ, καὶ ἡ σὴ μεγαλοφωνία· εἴπερ οἷόν τε ἦν ἑαυτὸν ἐπαινεῖν, καὶ τοῦτο εἶχεν ἡμῖν ὁ τῶν λόγων νόμος· εἰ δὲ τὸ καταφρονεῖν ἐγκαλούμεθα, τί μὴ μανίαν πρότερον; ἀλλ' ὅτι φιλοσοφοῦμεν ἀγανακτεῖς;
h δίδωμι. [h] δὸς εἰπεῖν, τοῦτο μόνον καὶ τῶν λόγων τῶν σῶν ὑψηλότερον.

Gregorius Magno Basilio.

QVo modo exiguæ nobis & viles res tuæ sunt, ô diuinum & sacrum caput? Quod nam hoc effugit verbum [a] dentalia septa? aut quomodo hoc dicere ausus es? vt ipse quoque audacter aliquid dicam. Quo modo vel animus id proposuit, vel atramentum scripsi, vel charta excepit? O studia, & Athenæ, & vir-

a id est, labia, metaphoricè.

virtutes, & literarij ſudores? Me enim literis tuis penè tragicum facis. Vtrum nos an te ipſum ignoras, tu, inquam, orbis lumen, magna vox & tuba, doctrinæ palatium? Tuáne Gregorio parua ſunt? Quid igitur aliud quiſpiam admiretur, eorum quæ in terra ſunt, niſi te Gregorius? Vnum ver inter anni partes, vnus ſol inter ſidera, vnum cœlum omnia complexu ſuo coërcens, vna vox tua de omnibus triumphans, ſi modò ſatis meus ſum, qui de huiuſmodi rebus iudicium feram, nec mihi amor impoſturam facit: quod non exiſtimo. Quòd ſi nobis hoc nomine ſuccenſes, quòd te minùs, quàm tua virtus meretur, ſuſpicimus & admiramur, omnibus quoque mortalibus ſuccenſeas oportet: neque enim alius quiſquam ſatis dignè te laudauit, aut laudaturus eſt, præter te tuamq́ in dicendo ſublimitatem: ſi quidem fieri poſſet, vt quiſpiam laudes ipſe ſuas prædicaret, idq́ ſermonum lex ferret. Quòd ſi contemptum tui nobis obiicis, quin priùs inſaniam? At quòd philoſophamur indignaris? Liceat mihi cum bona tua venia dicere, hoc vnum doctrina quoque tua & eruditione ſublimius eſt & præſtantius.



Γρηγόριος Ὀλυμπίῳ.

48. Ἡ μὲν ἄρχων σὺ καὶ μετὰ τὴν ἀρχὴν (κρίνομεν
γὰρ ἑτέρως ἢ ὡς οἱ πολλοὶ τὰ πράγματα) ὅτι
a συλλαμβάνω. πᾶσαν ἀρχὴν ἀρετὴν ἐν σεαυτῷ [a] συλλαβὼν
ἔχεις. πολλοὶ γὰρ τῶν ὑψηθρόνων ἐμοὶ κάτω,
ὅσους ἡ χεὶρ ποιεῖ ταπεινοὺς καὶ δούλους τῶν ἀρχο-
b ἵστημι. μένων, πολλοὶ δὲ ὑψηλοὶ καὶ μετέωροι, κἂν [b] ἑστή-
κασι κάτω, ὅσους ἄνω τίθησιν ἀρετὴ, καὶ ποιεῖ μει-
ζόνων ἀρχῶν ἀξίους. ἀλλὰ τί τούτων ἐμοί. οὐκ ἔτι
μεθ' ἡμῶν ὁ μέγας ὀλύμπιος. οὐδὲ φέρει σοῦ
ἡμετέρους οἴακας. οἰχόμεθα, προδεδόμεθα. γε-
γόναμεν αὖθις δευτέρα καππαδοκία. πρώτη
c γίνομαι. παρὰ σοῦ [c] γεγονότες. καὶ τὰ μὲν τῶν ἄλλων τί
χρὴ καὶ λέγειν. ἀλλὰ τίς γηροκομήσει τὸν σὸν γη-
ραλέον, καὶ φαρμακεύσει τὴν ἀσθένειαν, ταῖς τι-
μαῖς, καὶ θήσει τιμιώτερον τὸν παρὰ σοῦ πολλοῖς
d προξενέω. [d] προξενοῦντα τὸ φιλάνθρωπον; νῦν μὲν οὖν [e] ἄ-
πιτε τὴν ὑμετέραν ὁδὸν, σὺν ὁδηγίᾳ, καὶ πομ-
e ἄπειμι. πῇ κρείττονι, πολλὰ μὲν δάκρυα [f] καταλιπόντες
f καταλείπω. ἡμῖν, πολλῷ δὲ πλεῖον ἐπικομιζόμενοι παρ' ἡ-
μῶν, καὶ οἷον οὐ πολλοὶ τῶν ἀρχόντων, τὴν εὐδο-
ξίαν, καὶ τὸ ἀνάγραπτοι τυγχάνειν ταῖς πάντων
ψυχαῖς, στήλαις οὐκ εὐκινήτοις. εἰ δὲ πάλιν ἡ-
g ἐφίσταμαι μῖν [g] ἐπιστήσῃ, μετὰ μείζονος καὶ λαμπροτέρας

τῆς

τῆς ἀρχῆς, (τοῦτο γὰρ ὁ πόθος ἡμῖν μαντεύεται) τελειότερα τῷ θεῷ τὰ χαριστήρια πάντως [h] ἀνοίσομεν.


h ἀναφέρω

Gregorius Olympio.

TV nobis præfectus es, etiam poſt præfecturam (alio enim modo, quàm vulgus ſolet, de rebus iudicamus) quoniam virtutes omnes, quæ quidem præfecto dignæ ſint, complexu tuo tenes. Pleriq; enim ex iis, qui ſublimibus thronis inſident, apud me humi iacent, nimirum quos manus, humiles & abiectos efficit, ſeruosq; eorum, quibus præſunt. Permulti rurſus alti & ſublimes, quamuis inferiori loco atque ordine ſint, nempe quos virtus in alto collocat, ac maioribus imperiis dignos reddit. Sed quorſum hæc mihi? Non iam cùm nobiſcum eſt magnus Olympius, nec gubernacula noſtra gerit. Perimus, proditi ſumus, facti ſumus rurſum ſecunda Cappadocia, qui primæ dignitatem à te conſecuti eramus. Atque vt de aliis taceam, ecquis iam Gregorij tui ſenectutem curabit, corporisq; imbecillitatem honoribus velut incantabit, honoratiorem ex eo reddet, quòd multis hominibus benignitatem tuam conciliaret? Ac nunc quidem itinere veſtro cum meliori ductu ac pompa abite, multas nobis lachrymas relinquentes, multas item vobiſcum opes efferentes, quasq; non multi præfecti ſecum aſportant, nimirum bonam exiſti-


 matio-

mationem, & quòd in omnium animis inscripti atque incisi estis, huiusmodi columnis, quæ non facilè moueri possunt. Quòd si ad nos rursus cum maiori & illustriori imperio vobis venire contigerit (nam hoc nobis desiderium auguratur) pleniores vtique Deo gratias persoluemus.





LIBER



LIBER TERTIUS.

Γρηγόριος Γρηγορίῳ Νύσσης.

Οἴμοι ὅτι ἡ παροικία μου [a] ἐμακρύνθη καὶ, 1.
τὸ κεφάλαιον τῶν κακῶν, ἐν πολέμῳ καὶ στάσει τὰ ἡμέτερα, καὶ ἣν [b] παρελάβομεν παρὰ τῶν ἁγίων πατέρων εἰρήνην, οὐκ [c] ἐτηρήσαμεν. ταύτην μὲν οὖν οἶδ᾽ ὅτι αὐτὸς [d] ἀποκαταστήσεις, ἐν τῇ δυνάμει τοῦ σέ τε καὶ τὰ σὰ φέροντος πνεύματος. ἡμῶν δὲ μηδεὶς καταψευδέσθω, παρακαλῶ, μηδὲ τῶν κυρίων τῶν ἐπισκόπων, ὅτι ἀκόντων ἡμῶν, ἄλλον [e] ἐπεκήρυξαν ἡμῖν ἐπίσκοπον. οὐ γὰρ τοσοῦτον αὐτοῖς [f] ἀπερρίμμεθα, οὐδὲ οὕτως ἔχουσι πρὸς ἡμᾶς ἀπεχθῶς. ἀλλὰ πολλὰ [g] δεηθεὶς διὰ τὴν ἐμαυτοῦ νέκρωσιν, καὶ ἅμα τὸ βάρος [h] φοβηθεὶς τῆς ἐκκλησίας [i] ἀμελουμένης, ταύτην τε [k] ᾔτησα παρ᾽ αὐτῶν χάριν, οὔτε κανόσιν ἐναντιουμένην, καὶ ἡμᾶς ἀναψύχουσαν, [l] δοθῆναι τῇ ἐκκλησίᾳ ποιμένα, ὃς καὶ δέδοται ταῖς σαῖς εὐχαῖς, ἄξιος τῆς ὑμετέρας

a μακρύνομαι.
b παραλαμβάνω.
c τηρέω.
d ἀποκαθίστημι.
e ἐπικηρύττω.
f ἀπορρίπτομαι.
g δέομαι.
h φοβέομαι
i ἀμελέομαι.
k αἰτέω.
l δίδομαι.

πέρας θεοσεβείας, ὃν καὶ εἰς χεῖράς σου τίθημι, τὸν αἰδεσιμώτατον Εὐλάλιον, τὸν θεοφιλῆ ἐπίσκοπον, οὗ καὶ ταῖς χερσὶν [m] ἐναποψύξαιμι. εἰ δέ τις οἴεται μὴ [n] χρῆναι ζῶντος ἐπισκόπου ἄλλον χειροτονεῖν, [o] ἴστω μηδὲ ἐνταῦθα κρατῶν ἡμῶν. πᾶσι γὰρ δῆλον, ὅτι μὴ ναζιανζοῦ, σασίμων δὲ [p] προεβλήθημεν. εἰ καὶ πρὸς ὀλίγον αἰδοῖ τοῦ πατρὸς καὶ τῶν ἱκετευσάντων, ὡς ξένοι τὴν προστασίαν [q] κατεδεξάμεθα.

m ἐναποψύχω.
n χρή.
o ἵστημι.
p προβάλλομαι.
q καταδέχομαι.

Gregorius Gregorio Nysseno.

HEi mihi quia incolatus meus prolongatus est, & quod malorum caput est, bellis & seditionibus res nostræ flagrant, nec pacem, quam à sanctis Patribus accepimus, seruauimus. Hanc non dubito, quin ipse restituas, in spiritus illius virtute, qui, & te, & omnia tua regit ac moderatur. De nobis autem, ne quisquam, obsecro, falsos sermones iactet, nec de dominis Episcopis, tanquam videlicet inuitis nobis ac repugnantibus Episcopum alium nobis suffecerint. Non enim vsq; adeò illis contemptui sumus, nec adeò infestum eos nostri odium tenet. Quin potiùs eos multùm diuq́; obtestatus propter effœtum & emortuum corpus, simul etiam quòd neglectæ Ecclesiæ o-

nus

nus prætermiſerim, hanc ab iis gratiam poſtulaui, nec Eccleſiaſticis legibus aduerſantem, & nos recreantem, vt is Eccleſiæ paſtor daretur, qui etiam precibus tuis datus eſt, pietate veſtra dignus, quem tibi quoque in manus trado & colloco, venerabilem dico Eulalium, cuius vtinam manibus immori mihi contingat. Quòd ſi quis eſt, qui putet, Epiſcopo viuente alium inſtitui non debere: is ſciat, ſe ne hac quidem in parte nobis cauſa ſuperiorem eſſe. Inter omnes etenim conſtat, me non Nazianzi, ſed Saſimorum antiſtitem creatum fuiſſe, tametſi in patris reuerentiam, & eorum, qui ſupplices hoc à me contenderunt, ad breue tempus præfecturam quaſi hoſpites ſuſcepimus.

Γρηγόριος Θεοδώρῳ Ἐπισκόπῳ.

Α[a] παρὰ τῶν κυρίων μου τῶν τιμιωτάτων Ἐ- 2.
πισκόπων [a] ἐπέσταλται πρὸς τὴν σὴν εὐ- a ἐπιστέλ-
λάβειαν, ταῦτα καὶ παρ᾽ ἡμῶν ἐπεστάλθαι νομί- λομαι.
ζας, [b] δός, παρακαλῶ, χεῖρα ταῖς ἐλευθέραις, b δίδωμι.
καὶ μὴ [c] περιίδῃς αὐτὰς [d] τυραννουμένας, καὶ [e] πε- c περιείδω.
ριωθουμένας ὑπὸ τῆς τοῦ ἀνδρὸς δυναστείας, d τυραν-
καθ᾽ οὗ [f] προσεληλύθασιν, ἀλλ᾽ [g] ἐπικούρησον νέομαι.
τὰ εἰκότα. εἰ μὲν οἶδας ἃ πάσχουσι, δι᾽ ἃ πάσχου- e περιω-
σιν· εἰ δ᾽ ἀγνοεῖς, ὅτι καὶ τοῦτο πάσχουσι, τῷ σοι θέομαι.
f προσέρχο-
μὴ μαι.
g ἐπικουρέω


μὴ γινώσκεσθαι τὴν ἀδικίαν, μηδὲ πιστεύεσθαι. Εἰ δέ τις οἴεται περιεργοτέρους εἶναι ἡμᾶς, ὡς οὐδὲν προσήκουσαν δίκην οἰκειουμένους, πιθέτω τοῦτο, καὶ [h] στέρξομεν. νῦν δὲ [i] δέδοικα μὴ οὐκ οὕτως ἔχῃ. μάλιστα μὲν γὰρ οὐδὲ [k] μεμέρισται τὰ χριστοῦ, καὶ χριστὸς, οὐδὲ ὅρους ἔχει φιλανθρωπία. εἰ δὲ καὶ μεμέρισται [l] θείη τις, δύο σοῦ ἐν τῷ πράγματι [m] βαρουμένους γινώσκω, τήν τε σὴν εὐλάβειαν, καὶ ἡμᾶς, εἰ [n] παροφθείη τὸ δίκαιον. ὑπὸ γὰρ τὴν ἀμφοτέρων οἰκονομίαν οἱ κρινόμενοι, καὶ δέος μὴ [o] παρασυρῇ λόγων πιθανότητι τὸ ἀληθές. διὰ τοῦτο καὶ συνδίκαζε, καὶ προδίκαζε, καὶ [p] ὑπερμάχει τῆς ἀσθενείας ἡμῶν, μήπως εἰς ἀνάγκην [q] καταστῶμεν, καίπερ οὕτω τοῦ σώματος ἔχοντες, θερμότερον τῇ ἀληθείᾳ συναγωνίζεσθαι μετὰ θεοῦ καὶ τῆς τῶν σῶν συνεργείας.


h στέγω.
i δείδω.
k μερίζομαι.
l τίθημι.
m βαρέομαι.
n παρόπτομαι.
o παρασύρομαι.
p ὑπερμαχέω.
q καθίστημι.

Gregorius Theodoro Episcopo.

Quæ à præstantissimis dominis meis Episcopis ad pietatem tuam scripta sunt, eadem à nobis quoque scripta esse ducens, ingenuis matronis dextram quæso prabe, nec eas viri illius, aduersus quem progressæ

gressæ sunt, tyrannica potentia vexari atque opprimi patere: verùm iis, vt par est, opitulare: si scis quæ patiantur, ob eam causam propter quam patiuntur: si nescis, ob id ipsum quòd patiuntur, propterea quòd iustitia tibi ignota est, ita ne fidem quidem apud te inuenit. Quòd si nos quispiam curiosiores, quàm par sit, esse existimet, vt qui litem nihil ad nos attinentem nobis asciscamus; id probet, & acquiescemus. At nunc vereor vt ita sit. Maximè enim ne Christi quidem res, vt nec ipse Christus, diuisæ sunt: nec finibus vllis circumscripta est benignitas: Atque vt etiam diuisas esse quispiam statuat, duos, qui hac in re grauentur, esse scio, nimirum pietatem tuam, & nos; si, quod iustum est, negligatur. Etenim sub vtriusque curam & administrationem sunt iј, de quibus iudicatur. Et metuendum est, ne verborum lenocinio veritas conuellatur. Ac proptereà, & simul iudica, & pro imbecillitate nostra propugna: ne alioqui in eam necessitatem adducamur, vt, in hac licet corporis valetudine, Dei ope, ac tuarum precum adiumento freti, acrioribus animis veritati subsidium feramus.





Γρηγό-

Γρηγορίῳ Εὐδοξίῳ Ῥήτορι.

3. Τί [a] φῶμεν [b] πεπονθέναι σε πρὸς ἡμᾶς, ὦ θαυμάσιε; τίς ἡ τοῦ μὴ γράφειν αἰτία; οὔτε ὑπεροψίαν [c] ἐγκαλέσομεν, οὔτε ἀργίαν, οὔτε τὸ μὴ ἔχειν ὅ,τι γράψεις. οὐ πρός σου τὸ ταῦτα παθεῖν. ἤπου τῶν ἰάμβων ἡμῖν [d] μνησικακεῖς, ὧν ὁ κακῶς [e] ἀπολούμενος Οὐαλεντῖνος [f] προσέκλυσε· καὶ ταῦτα σοῦ θέλοντος. οὐ γὰρ ἦν ῥήτορος ἀνδρὸς καὶ δεινοῦ ἄνδρ' [g] ἐπαμύνασθαι, ὁπότε τις πρότερος ἰαμβοποιεῖν τοιαῦτα [h] κατετόλμησεν; Ἀλλ' Ἀχιλεῦ, [i] δάμασον θυμὸν μέγαν, καὶ [k] κίνησον αὖθις ἡμῖν τὴν γραφίδα, τὴν σὴν μελίαν, μὴ [l] δόξῃς μικρὰ πεπονθὼς ἀπαντᾶν εἰς μείζω τὸν ἐπισκοπικὸν θρόνον. ἵπτασο δὲ, [m] θήρα, βάδιζε, ὡς ἂν ἐθέλῃς ἐμοῦ γε ἕνεκα. οὔτε τι γράψομεν ἔτι, οὔτε [n] προσπαίζομεν. καὶ ταῦτα ἱκανῶς. τοσοῦτο τιμώμεθα τὴν σὴν φιλίαν. ἡ μὲν οὖν παιδιὰ τοσαύτη, καὶ ἐπὶ τοσοῦτον. τὸ δὲ, οὐκέτι παιζόντων ἐστὶν, ἀλλὰ καὶ λίαν σπουδαζόντων. τὸν γλυκύτατον υἱὸν ἡμῶν Νικόβουλον, αὖθις ἐγχειρίζομέν σοι, καὶ δέχοιο παρ' ἡμῶν τοῦτον, ὡς παρ' ἡμῶν, τὸ μὲν ῥητορικὸν ἔρνον τῷ πατρὶ [o] χαριζόμενος, τὸ δὲ σοφιστικὸν, ἡμῖν. οἶδα γὰρ ὅτι θελήσαντί σοι, τὸ πρᾶγμα

a φημί. b πάσχω. c ἐγκαλέω. d μνησικακέω. e ἀπόλλυμαι. f προσπλύνω. g ἐπαμύνομαι. h κατατολμάω. i δαμάω. k κινέω. l δοκέω. m θηράω. n προσπαίζω. o χαρίζομαι.

μα ἐπίδρομον. τοῖς δὲ θαυμασίοις σοφισταῖς
τὴν ὀφρὺν μόνον p ἀφήσεις, καὶ τὸ περὶ τοῦ πλείο- p ἀφίημι.
νος μάχεσθαι.

Gregorius Eudoxio Rhetori.

QVid tibi in nos accidiſſe dicemus, vir admirande? Quanam non ſcribendi cauſa? Non enim ſuperbiam & cõtemptum obiiciemus, nec deſidiã, nec quòd, quid ſcribas, non habeas: Neq; enim tuum eſt his affectibus laborare. Nimirũ illud eſt, de iambis illis nobis ſuccenſes, quos ille malè perdendus Valentinus expuit, idq; te volente. An non enim hominis Rhetoris ac facundi erat hominem vlciſci, qui prior iambos eiuſmodi fundere minimè dubitarat? At, ô Achilles, ingentem iracundiam doma, rurſumq; nobis haſtam tuam, hoc eſt, calamum, moue: ne alioqui, cùm exigua perpeſſus ſis, in maiora, hoc eſt, in Epiſcopale ſolium, impetum facere videaris. Equita, venare, ingredere arbitratu tuo, quantum quidem ad me attinet, nec quicquam iam ſcribemus, nec iocabimur. Ac de his ſatis. Tanti amicitiam tuam facimus. Hactenus tecum iocati ſumus. Illud autem non iam iocantium, ſed seriò agentium eſt, quòd ſuauiſſimum filium noſtrum Nicobulum rurſum tibi tradimus. Ac velim eum à nobis accipias, vt à nobis: Rhetoricam quidem tæniam patri, Sophiſticam autẽ nobis largiturus. Non enim dubito,

L quin,

quin, si volueris, negotium fœlicem cursum habiturum sit. Admirandis autem Sophistis supercilium duntaxat relicturus es, illudq́; vt de augendis facultatibus conflictentur.

Γρηγόριος Ἀστερίῳ.

4. Μέγας ἐν ἀνθρώποις ὁ Ἡρακλῆς, ὡς ὁ λό-
a ἀναμνάω γος, (ἵνα σε λόγιον ὄντα καί τινος [a] ἀνα-
μνήσω τῶν σῶν) ἀλλ' οὐκ ἂν τοσοῦτος ἦν, εἰ
μὴ τὸν Ἰόλαον εἶχε συναγωνιζόμενον, καὶ κατὰ
τῆς ὕδρας μάλιστα, τοῦ πικροῦ τούτου καὶ πολυ-
b ἐκτέμνω κεφάλου θηρίου. ἧς ὁ μὲν, [b] ἐξέτεμε τὰς κε-
c ἐπικαίω. φαλὰς, ὁ δὲ, [c] ἐπέκαεν, ὥσπερ τὰ τῆς κα-
d παρελαύνω. κίας ὑμεῖς. πολλοὺς [d] παρήλαυνον οἱ Ἀκτορίο-
νες ἅρμασιν, ὡς Ὁμήρῳ δοκεῖ. δίδυμοι γὰρ ἦ-
σαν καὶ τὰ σώματα καὶ τὴν τέχνην, ὁ μὲν, τὰς
ἡνίας, ὁ δὲ, τὴν μάστιγα μεριζόμενοι, καὶ
τὸ νικᾶν ἀλλήλοις συνερανίζοντες. πολλοὺς δια-
σώζει κυβερνήτης πλωτῆρας· ἀλλ' οὐκ ἂν
ὁμοίως διέσωζε, καὶ καλῶς πρωρεῖ βοηθού-
μενος, ὃς καὶ διαθεᾶται τοὺς ἀνέμους, καὶ τὰς
ὑφάλους προδείκνυσι, καὶ γίνεται τῆς νηὸς οἷ-
όν τις ὀφθαλμός. τοιοῦτον ἡμῖν καὶ τὸ ὑμέτε-
ρον. λαμπρὸν γὰρ ὄντα τὸν ἄρχοντα καὶ παρ'
ἑαυτοῦ, λαμπρότερον αὐτὸς ἐργάζῃ τῇ συνερ-
γίᾳ

γία· ὧν πολλὰ ἐπαινοῦντες, τοῦτο θαυμάζομεν μάλιστα, ὅτι τοσαύτην τοῖς δημοσίοις εὔνοιαν σώζοντες, χώραν δίδοτε καὶ τοῖς φιλικοῖς· οὐ τραχύτητι τρόπου τὸ ἀκριβὲς ἐνδεικνύμενοι, κατὰ τοὺς πολλοὺς τῶν ἡμετέρων, ἡμερότητι δὲ μᾶλλον τὸ τῆς ἀρχῆς αὐστηρὸν πιθασεύοντες.

Gregorius Asterio.

MAgnus inter homines Hercules, vt ferunt (libet enim tibi, erudito ac diserto viro, tuorum quoq; aliquid in memoriam reuocare) at non tantus fuisset, nisi Iolaum certaminum socium habuisset, ac præsertim aduersus Hydram, sæuam, inquam, & multis capitibus præditam belluam: cuius ille capita desecabat, hic autem igni cremabat: quemadmodum scilicet vos improbitatem. Multos & Actoris filij curruli certamine superabant (vt Homero placet) dum illi & corporibus & arte gemini flagellum & habenas inter se partirentur, victoriamque alter alteri conciliarent. Vectores multos seruat gubernator: at non perinde seruaret, nisi bonus proreta ipsi auxilio esset, qui & ventos obseruat, & scopulos præmonstrat, nauisq; velut oculus quidam existit. Tales nostro iudicio vos estis. Nam cùm Præses ex seipso clarus sit, tu, adiun-

cta opera tua & auxilio, clariorem eum reddis. Quos cùm multis nominibus laudemus, tum hoc potissimùm nomine admiramur, quòd cùm tantam publicis commodis beneuolentiam conseruetis, tamen locum quoque amicitiæ officiis datis, nimirum non morum asperitate (quod multi eorum faciunt, qui modum tenere nesciunt) seueritatem ac iuris rigorem ostentantes, verùm lenitate ac mansuetudine potiùs Imperij austeritatem mitigantes.

Γρηγόριος Εὐτροπίῳ.

5. Ἄλλος μὲν, ἄλλό τι τῶν σῶν [a] ἐπαινείτω (πάντως δὲ [b] ἀρκέσεις γλώσσαις πολλαῖς μεριζόμενος) ἐγὼ δὲ, ὃ μάλιστα θαυμάζων ἔχω, τοῦτο ἐρῶ. τοσοῦτόν σοι καλοκἀγαθίας καὶ λόγων περίεστιν, ὥστε καὶ τοῦ μόνον φίλους ποιεῖν, τὸ [c] νομισθῆναί τινας προὔσου. ἐμὲ γοῦν πρὸς πᾶσιν οἷς τετίμηκας οὖσι τοσούτοις, ἡνίκα τὸν ὑψηλότατον εἶχες θρόνον, ἔχοντα τὸ ἐπίφθονον ἔτι, καὶ κατὰ τὴν Ἀσίαν [d] περιτυχὼν, εἴ τι [e] μέμνησαι (μέμνησαι δὲ οἶδ᾽ ὅτι τηλικοῦτος ὢν, καὶ τὰ φιλικὰ, μετὰ τῆς ἐν πᾶσι τελειότητος) τά τε ἄλλα εἶδες ὡς ἥδιστα, καὶ γράφειν [f] διεκελεύσω, λόγους τιμῶν τοὺς σούς. οὐ μό-

a ἐπαινέω.
b ἀρκέω.
c νομίζομαι.
d περιτυγχάνω.
e μνάομαι.
f διακελεύομαι.

νον

τον δὲ, ἀλλὰ καὶ γράψαι πρότερος ἠξίωσας. τοὺς ἀγαθοὺς τῶν γραφέων μιμούμενος, οἳ τῷ παραδεικνύναι τὰ πολλὰ μαθητὰς ἐκπαιδεύουσι. τοῦτο δὲ νῦν πεποίηκας εὖ ποιῶν· καὶ τοῦ λοιποῦ [g] χαρίσαιο μὴ [h] κατόκνει (κἂν σε ὑψηλὸν αὖθις οἱ θρόνοι φέρουσιν. οἴσουσι γὰρ τὴν ἀρχὴν, οὐ τὴν ἀρετήν. οὐδὲ γὰρ ἔχεις ὅ,τι [i] ὑψωθῇς κατὰ ταύτην, ἥκων πρὸς τὸ ἀκμαιότατον) ἀλλὰ καὶ τὰ κοινὰ πράττων, μὴ [k] ἀμέλει τῶν φίλων κατὰ τοὺς Ὁμηρικοὺς νεανίας, ἐν μέσῳ πολέμῳ φιλικὰ σπουδάζοντας. ἐπειδὴ καὶ τούτῳ ποικίλλει τὴν ποίησιν ὁ σὸς Ὅμηρος.

g χαρίζομαι.
h κατοκνέω.
i ὑψόομαι.
k ἀμελέω.

Gregorius Eutropio.

Alius aliam quandam virtutum tuarum partem laudet (omnino autem pluribus linguis sufficies, si in partes tribuaris) ego autem, quòd maximè sum admiratus hoc dicam. Tanta tibi probitatis atque doctrinæ copia est, vt hoc quoque vno nomine quosdam in amicitiam recipias, quòd tales esse iudicentur. Me quippe, præter eos omnes, quos, cùm tales essent, honore affecisti, cùm sublimissimũ thronum, adhuc inuidia flagrantem, teneres, atque in Asia obuiam tibi factus fuissem, si memoria tenes, (non autem mihi dubium est, quin memi-

 neris,

neris, cùm præter tuam in omnibus rebus præstantem ac numeris omnibus absolutam virtutem, in colendis amicitiæ officiis tantus sis) cùm alioqui lætissimo animo vidisti, tum etiam doctrinam tuam ornans, vt ad te scriberem hortatus es. Nec eo contentus, prius quoque ad nos scribendum duxisti, probos videlicet pictores referens, qui propositis exemplis discipulos vt plurimum erudiunt. Hoc autem nunc fecisti, ac rectè quidem & commodè: & deinceps id quoque mihi largiri ne graueris. Ac si te rursum throni sublimem ferant, (magistratum enim ferent, non virtutem. Neque enim quantum ad virtutem attinet, altiùs subuehi potes, cùm ad summum vsque perueneris) at etiam publica negotia gerens, ne amicorum incuria labores, Homericos videlicet iuuenes imitans, qui in medio bello amicitiæ munera exequebantur. Nam hac quoque re poësim suam Homerus tuus exornat.

Τῷ αὐτῷ.


6. Οὐ πανταχοῦ τὸ τάχος ἐπαινετόν. διὰ τοῦτο [a] ἀνεβαλόμην τὴν ἀπόκρισιν εἰς τόδε περὶ τῆς αἰδεσιμωτάτης Οὐηλανοῦ θυγατρός. τῷ χρόνῳ τι διδοὺς εἰς διόρθωσιν, καὶ ἅμα τῆς σῆς στοχαζόμενος ἀγαθότητος οὐκ ἐπαινούσης τὸ διαστάσιον, ἐξ ὧν ἡμῖν τὴν πεῦσιν [b] ἐπέ-

a ἀναβάλλομαι.

[b] ἐπέτρεψας, οὓς οὐ ταχέως [c] ᾔδεις, οὐδὲ ἀ-περισκέπτους πρὸς τὰ τοιαῦτα. Διὰ τοῦτο μὲν οὖν [d] κατέχον ἐμαυτὸν εἰς δεῦρο, καὶ οἴομαι οὐκ ἀλογίστως. ἐπεὶ δὲ εἰς στενὸν ἥκομεν τοῦ καιροῦ, καὶ ἀνάγκη γνωρίσαι τὸ περὶ τῆς ἐξετάσεως [e] εὑρεθὲν, καὶ διαγνωριζόμενον, διπλῆ τις ἡ παῖς εἶναί μοι φαίνεται, μεριζομένη αἰδοῖ τε γονέων, καὶ ἀνδρὸς συνηθείᾳ. καὶ τὰ μὲν ῥήματα μετ' ἐκείνων ἐστίν. ἡ δὲ διάνοια, οὐκ οἶδα, εἰ μήτι καὶ μετὰ τούτου, ὡς παραδηλοῖ τὸ δάκρυον. Αὐτὸς μὲν οὖν δηλαδὴ πράξεις, ὃ παρίσταται τῇ σῇ δίκῃ καὶ τῷ κατευθύνοντί σε πρὸς πάντα Θεῷ. ἐγὼ δὲ ἥδιστα ἂν γνώμην ἔδωκα τῷ υἱῷ Οὐηριανῷ πολλὰ τῶν ἐν μέσῳ [f] παραδραμεῖν, ἐπὶ τῷ μὴ [g] κυρῶσαι τὸ ἀποστάσιον, ὃ τοῖς ἡμετέροις ἀπαρέσκει πάντως, νόμοις, κἂν οἱ Ῥωμαίων ἑτέρως κρίνωσι. τὸ δίκαιον γὰρ φυλαχθῆναι ἐπάναγκες, ὃ καὶ ἡμεῖς σοι εὐχόμεθα ἀεὶ λέγειν τε καὶ ποιεῖν.

b ἐπιτρέπω.
c εἴδω.
d κατέχω.
e εὑρίσκω.
f παρατρέχω.
g κυρόω.

* * *



Eidem.

HAud vbiq; properatio laudanda est. Ac propterea de viri cum primis honorandi Veriani filia responsum huc vsq; distuli, vt tempori ad correctionem aliquid darem, simul etiam quòd diuortium istud minimè bonitati tuæ probari, ex eo coniecturam fecissem, quòd nobis, quos in huiusmodi rebus haud celeres ac præcipites esse sciebas, percunctationis negotium commiseras. Eaq; de causa meipsum hucusque retinui, nec, vt opinor, inconsideratè. Quoniam autem temporis angustiis premimur, teque, quid ex inquisitione à nobis inuentum atq; compertum sit, certiorem facere necesse habemus, duplici quodammodo animo mihi puella esse videtur, vt quæ partim pudore parentum, partim viri consuetudine distracta sit. Atque ipsius quidem verba cum illis sunt: mens autem haud scio an non cum hoc quoq; sit, vt lachrymæ indicant. Ac tu quidem id scilicet facies, quòd æquitati tuæ in mentem subibit, ac Deo, qui te in omnibus regit [gratum erit.] Ego autem lubentissimè filio Veriano id consilij darem, vt multa eorum, quæ in medio sunt, præteriret, quo diuortium minimè confirmaret: quod legibus nostris prorsus improbatur, etiam si Romanæ aliter decernant. Ius enim seruari necesse est, quod vt & semper dicas, & facias, tibi optamus.

Leges Imperatorum intelligit.

* * *

Γεν-

Γρηγόριος Τιμοθέῳ.

7. Ἀεὶ καλὸς ἐγὼ τῶν καλῶν θηρευτὴς (ἵνα τι καὶ [a] νεανιεύσωμαι) ὃς καὶ τὴν σὴν λογιότητα κρυπτομένην καὶ τὸ λανθάνειν φιλοσοφοῦσαν, [b] ἀνεῦρόν τε λόγοις ἰχνευτικοῖς, καὶ τοῖς ἄλλοις [c] ἐγνώρισα· καὶ ἵν' εἴπω τι τῶν ἡμετέρων, τὸ ὑπὸ τῷ μοδίῳ φῶς ἐπὶ τῆς λυχνίας [d] ἐδημοσίευσα. ἵνα γὰρ [e] ἐάσω τἄλλα τῶν σῶν καλῶν, τὴν παίδευσιν, τὴν εὐσέβειαν, τὸ τοῦ ἤθους ἐπιεικές τε καὶ μέτριον. (ἃ πάντα ἑνὸς γενέσθαι, τῶν λίαν ἐστὶ χαλεπῶν) ἰδοὺ τό γε παρὸν τηλίκον; καὶ μνημονεύεις ἡμῶν, καὶ * δεξιοῦσαι τοῖς γράμμασι, καὶ [f] περιΐστης ἐπαίνους. οὐχ ἵν' ἐπαινέσῃς (συνίημι γὰρ σου τῆς φιλοσοφίας) ἀλλ' ἵνα κρείττους ποιήσῃς, καὶ [g] περιαγάγῃς εἰς τὸ ἔμπροσθεν, αἰσχυνομένους, μὴ τοιούτους φαίνεσθαι, οἵους ὑπολαμβάνεις. τὰ μὲν οὖν ἡμέτερα, πέρας ἔχει. [h] ὑπεχωρήσαμεν τῷ φθόνῳ. φιλοσοφοῦμεν ἐφ' ἡσυχίας τῷ Θεῷ. καθ' ἡμᾶς αὐτοὺς συγγινόμεθα ταῖς εὐχαῖς· τῶν ἐν μέσῳ κλόνων καὶ θορύβων [i] ἠλευθερώμεθα· σὺ δὲ ἡμῖν ἀνδρίζου, καὶ [k] κραταιοῦ καὶ ὑπεραγωνίζου τῆς Τριάδος εἰς δύναμιν. καὶ ὁ πραΰς, ἔσω μαχητής, ὃ καὶ ἡμᾶς [l] ἑώρας ποιοῦντας. οὐ γὰρ βούλομαι κέρκωπας μὲν εὐδοκιμεῖν, ἠ-

a νεανιεύομαι.
b ἀνευρίσκω.
c γνωρίζω.
d δημοσιεύω.
e ἐάω.
* pro δεξιοῖ.
f περιΐστημι.
g περιάγω.
h ὑποχωρέω.
i ἐλευθερόομαι.
k κραταιόομαι.
l ὁράω.

ῥεμεῖν δὲ λέοντας. καὶ ἡμῶν ὑπερεύχου σφόδρα καμνόντων, ἵν' εἰρηνικῆς [m] τύχωμεν τῆς ἐξόδου, ἤδη πρὸς τοῦτο νεύοντες.

m τυγχάνω.

Gregorius Timotheo.

Bonus ego semper bonorum virorum venator sum (libet enim nonnihil iuuenum more gloriari) quippe qui eruditionem quoque tuam sese occultantem atq; incognitam esse studentem, & ipse indagatricibus quibusdam rationibus inueni, & aliis cognitam reddidi, & vt aliquid ex nostra doctrina vsurpem, lumen sub modio abditum candelabro imposui, atque in medium protuli. Vt enim alias tuas virtutes prætercam, hoc est doctrinam, pietatem, morum facilitatem ac modestiam (quæ quidem omnia, vt vnus obtineat, perdifficile est) en id quoq; quod nunc facis quanti æstimandum est? Et nostri recordaris, & per literas complecteris, & laudes adiungis: non vt nos laudes (tuam enim philosophiam intelligo) verùm vt meliores reddas, atque ad vlteriora promoueas, erubescentes videlicet, non tales nos præbere, quales nos esse arbitraris. At nostræ quidem res finem habent. Inuidiæ cessimus: Deo tranquillè philosophamur: soli degimus atq; in precibus versamur: mundi strepitibus ac tumultibus liberati sumus. Tu verò viriliter age, & confortare, ac pro Trinitate, quantum vires tuæ ferent, dimica. & qui mansuetus est, pugnax fiat, (quemadmodũ etiam nos facere videbas)

debas) neque enim mihi placet, vt simij floreant, celebresque sint, leones autem quiescant. Ac pro nobis, qui magnis ærumnis premimur, Deum precare, vt pacatum è vita discessum, ad quem iam vergimus, consequamur.

Τῷ αὐτῷ.

Παῤῥησιάσομαί τι πρὸς σὲ· καὶ γὰρ [a] πέφυκα οὕτω καὶ βούλομαι. εἰ δὲ μὴ [b] μεταδοίης ἡμῖν, ἐμέ τε καὶ τὸν Νικόβουλον [c] ἀδικήσεις. φίλῳ τε γὰρ ἐσόμεθα [d] προσκεκρουκότες, καὶ παρὰ σοῦ μηδὲν ἔχοντες πλέον. εἰ δὲ δοίης ὅσον ἐλπίζομεν, εὐγνωμονήσεις, καὶ ἀμφότερα ἡμῖν ὡς κάλλιστα [e] ἕξει. ἐκείνῳ μὲν γὰρ ἀπολογησόμεθα, σὲ δὲ ἐπαινεσόμεθα. εἰ δὲ δίδως ἡμῖν καὶ παραινέσαι σοι πατρικῶς, ἀλλὰ μὴ τῇ συνηθείᾳ τοῦ ἄρχειν, τὴν βουλὴν [f] διαπλύσῃς, δέξαι λόγον ἀνδρὸς τὰ τοιαῦτα οὐκ ἀμαθοῦς. [g] κατάθεσθέ ποτε τὰ ὅπλα καὶ τὰς σφενδόνας, καὶ τὰς δεινοτέρας μελίας, τὰς γλώσσας, αἷς κατ' ἀλλήλων βάλλετέ τε καὶ τιτρώσκεσθε, καὶ ταῦτα ἐν ἐπαινέταις τοῖς σπουδασταῖς· καὶ κατάθεσθε τοσοῦτον μᾶλλον, ὅσον προχειρότερον τοῦτο τῶν ὅπλων ἐστὶν, ἵνα μὴ κακίας μᾶλλον, ἢ ἀρετῆς ἐξηγεῖσθε τοῖς νέοις. καὶ εἰ μὴ τοῖς λόγοις, ἀλλὰ τοῖς πράγμασιν. οἷς γάρ τις χαίρει γινομένοις, ταῦτα συμβουλεύει

8.
a φύω.
b μεταδίδωμι.
c ἀδικέω.
d προσκρούω.
e ἔχω.
f διαπλύω.
g κατατίθεμαι.

καὶ

h ὄνημι. καὶ σιωπῶν. Ἂν οὕτω ποιεῖτε, ὑμᾶς τε αὐτοὺς [h] ὀ-
νήσετε, καὶ ἡμᾶς φίλους ἕξετε. καὶ οὐ ψεύσεσθε τὰς
i πιστεύω. τῶν [i] πεπιστευκότων ἐλπίδας. Οὗτός μοι τῶν
ἐπὶ Νικοβούλῳ πόνων μισθός. εἰ δὲ πεῖραν πλεω-
k λαμβάνω. τέραν [k] λάβοιμεν, πλεωτέραν καὶ τούτων ἀντι-
δώσομεν τὴν εὐφημίαν.

Eidem.

Liberius aliquanto ad te loquar. sic enim natura comparatus sum ac volo. Quòd si [hanc libertatem] minimè concedas, & mihi & Nicobulo iniuriã facies. Nam & amici animum offenderimus, & nihil amplius abs te habuerimus. Sin autem quantum speramus, dederis, probi candidiq́ viri officio fungêris, atq; vtrumq; nobis præclarißimè se habebit. Nam & illi satisfaciemus: & te laudabimus. Quod si etiam hoc nobis concedis, vt te quoq; paternè moneam, nec tu pro tua imperandi consuetudine consilium nostrũ aspernaris, viri in huiusmodi rebus haud rudis & imperiti sermonem accipe. Tandem aliquando arma deponite, ac fundas, & atrociores hastas, hoc est, linguas, quibus vos mutuo inceßitis, & vulneramini, idque applaudentibus ac laudantibus iis, quos vestri studiosos habetis: & quidem eas hoc magis deponite, quod promptius paratiusq́; armis telum istud est: ne alioqui vitij potius quàm virtutis, duces adolescentulis existatis, si non verbis, at certè rebus ipsis. Nam

quibus

quibus rebus, cùm fiunt, quisq; delectatur, easdem etiã tacens, suadet. Hoc si feceritis, tum vobis ipsis proderitis, tum nos amicos habebitis, nec spes eorum, qui fidei vestræ se commiserunt, falletis. Atq; hæc mihi pro laboribus, Nicobuli causa susceptis, merces sit. Quòd si plenius experimẽtum sumpserimus, pleniorem etiam his laudem tibi persoluemus.

Γρηγόριος Ἀστερίῳ.

Τί τοῦτο ἴσως [a] ἐρεῖς; πάλιν ἡμῖν ὁ Γρηγόριος; 9.
πάλιν ἐπιστολάς; πάλιν αἰτήσεις; ὢ τῆς ἀ- a εἴρω.
πληστίας ἣν αὐτοὶ [b] κεκινήκαμεν. μηδαμῶς, ὦ b κινέω.
θαυμάσιε, μὴ τοῦτο [c] πάθῃς. Τίνων γὰρ οἱ λιμέ- c πάσχω.
νες, ἢ τῶν χειμαζομένων; τίνων δὲ τὰ φάρμακα,
ἢ τῶν [d] ἀῤῥωστούντων; ὧν περ ἡμεῖς μὴ [e] ἀποστερη- d ἀῤῥωστέω.
θείημεν· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ πιστευόμεθα, δύ- e ἀποστερέομαι.
νασθαι παρὰ σοί. οὐκ ἔτι γὰρ [f] αἰτοῦμεν, ἀλλ' ἀπ- f αἰτέω.
αιτοῦμεν, ἀεὶ χάριτος χάριν προκαλουμένης.
Νικόβουλος ἐν ἐπηρείαις, ταυτὸν δὲ εἰπεῖν ὅτι ἡ-
μεῖς. ἡμῶν γὰρ ἐστιν ἀνάπαυσις. καὶ πῶς οἷόν τε
σιωπᾶν, καὶ μὴ φορτικὸν εἶναι καὶ τὸν σφόδρα
φιλόσοφον; [g] δὸς χεῖρα πιεζομένοις, ἵνα καὶ αὐ- g δίδωμι.
τὸς τῆς ἐκ θεοῦ [h] τύχῃς, χρήζων ταύτης ὡς ἄν- h τυγχάνω.
θρωπος. καὶ [i] χρῆσαι πάσῃ τῇ φιλίᾳ, καὶ τῇ
συνέσει, καὶ τῷ δύνασθαι σὺν θεῷ, περὶ τὰ ἡμέτε- i χράομαι.
ρα πράγματα. ἔτι γὰρ σίδηρος ἔμπυρος πολ-

λῶν δεῖται τῶν παρὰ τοῦ λίθου, ἵνα τὸ ἐγκείμενον πῦρ [k] δημοσιωθῇ, [l] ἀλλ᾽, ἐπλήγη τε ὁμοῦ, καὶ τὸ πῦρ [m] ἤστραψεν. οὔτε αὐτὸς μακροτέρας δεήσῃ παρακλήσεως. καὶ τοῦτο ὑπὲρ ἡμῶν καὶ τοιούτου τοῦ πείθοντος ὄντος, καὶ οὕτω γνησίου. κοινωνοῦ τῆς ἀρχῆς. ἓν καὶ σύντομον φθέγξομαι. τὰς μὲν ἄλλας χάριτας, ἄλλοι δι᾽ ἡμῶν ἐλάμβανον, ταύτης δὲ ἡμεῖς χρήζομεν ὑπὲρ ἡμῶν αὐτῶν, ὃ καὶ μᾶλλον [n] δυσωπησάτω τὴν σὴν λογιότητα.

k δημοσιῶ. l πλήττομαι. m ἀστράπτω. n δυσωπέω.

Gregorius Asterio.

QVid hoc (fortasse dicturus es) rursus ad nos Gregorius? rursus epistolas? rursus postulationes? ô inexplebilem cupiditatem, quam ipsi excitauimus. Ne quæso, ne tibi hoc accidat? Quorum enim sunt portus? An non eorum qui tempestate iactantur? Quorum pharmaca? An non eorum qui morbo laborant? quibus quæso ne priuemur: idq; eo magis quod gratia & auctoritate apud te valere credimur. Non enim iam poscimus sed exposcimus: nimirum gratia gratiam semper prouocante. Nicobulus per summam improbitatem vexatur, quod perinde est ac si dixissem, nos; hic quippe nos recreat & reficit. Et quo modo hîc silere minimeq; grauis & importunus esse queat vir etiam admodum sapiens? Oppressis manum porrige, vt tibi Dei quoque manus porri-

porrigatur, qua, vt homo, opus habes. Atque omni amicitiæ, & prudentiæ, & potentiæ genere, vnà cum Deo in rebus noſtris vtere. Nam nec ignitum ferrum multis lapidis pulſibus opus habet, vt inſitus ignis in apertum proferatur, verùm ſimulatq́; percuſſum eſt, confeſtim ignis fulget, atque emicat: nec tibi longiore deprecatione opus erit, idque pro nobis ac tali homine ſuaſoris partes obeunte, tamque fido imperij conſorte. Vnum idque breue, dicam. Alia quidem beneficia alij per nos accipiebant; hoc autem nos pro nobis ipſis indigemus: quod magis etiam eloquentiam tuam doctrinamq́; flectat.

Γρηγόριος Ἐκηβολίῳ.

[a]Βοήσομαί τι κατ' ἐμαυτοῦ (καὶ συγγνώμη 10.
τῷ [b] ἀλγοῦντι, τὰ ἀλγοῦντος φθέγξα- a Βοάω.
σθαι) ὦ σαρκίον πονηρὸν καὶ κακόηθες. οἷά με b ἀλγέω.
κακὰ [c] δρᾷς; οἷα ἐργάζῃ; ἐγγὺς ἀνὴρ, ὃν καὶ c δράω.
πόῤῥω τυγχάνοντα μεταδιώκειν τῶν ἀναγκαίων ἦν,
τῆς τε ἀρχικῆς ἀρετῆς εἵνεκα, καὶ τῆς ἄλλης ἡμερότητος. σὺ δὲ πονήρως ἔχεις, καὶ σχεδὸν ἀκινήτως, καὶ περιορᾷς ἄλλους τοῦ ἀγαθοῦ μεταλαμβάνοντας, ἡμᾶς δὲ ζημιουμένους. τὰ μὲν οὖν τῆς κατηγορίας τοιαῦτα. ἐπεὶ δὲ οὐκ ἐξαρκεῖ τὸ [d] ἀποδύρεσθαι μόνον ἃ πάσχομεν, ἀλλὰ d ἀποδύρομαι.

δεῖ ζ-

e ἐξευρίσκω. — δεῖλινος καὶ φαρμάκου πρὸς τὴν πληγὴν τοῦτο [e] ἐξεύρομεν, τὸ θαῤῥῆσαι πρὸς τὴν ἐπιστολὴν ταύτην, καὶ τοῖς γράμμασι [f] σκιαγραφῆσαι τὴν παρουσίαν. εἰ δὲ καὶ τὸ εὖ ποιεῖν ἡμᾶς ἐπιζητεῖς, βρύων τὸ ἀγαθὸν, προσάγομεν θαῤῥοῦντες οἰκίαν ἐλεεινὴν καὶ φιλανθρωπίας ἀξίαν, χήραν μετ' ὀρφανῶν ἔτι θερμῶν ἐν τοῖς δάκρυσι· τὴν δὲ ἀδελφὴν τὴν ἐμὴν λέγω, καὶ τοὺς ταύτης παῖδας. οἱ πατρὸς ἀγαθοῦ [g] γεγονότες, καὶ πολλὰ μὲν βασιλεῦσι [h] καμόντος ἐν ὅπλοις οὐκ ἀνωνύμως, ἀλλὰ καὶ λίαν λαμπρῶς, πολλὰ δὲ τοῖς ἄρχουσιν ὑμῖν [i] ὑπουργήσαντος (εἴ τινα νικόβουλον ἀκούεις) κινδυνεύουσι νῦν πάσχειν τὰ χαλεπώτατα. μετὰ γὰρ τὴν τῶν φίλων ἔκδοσιν καὶ τοὺς ὅρκους ἐκείνους, οὓς ἐπὶ τῇ ἐξετάσει [k] ὑπέστησαν, νῦν πάλιν ἐπηρεάζειν ἐπιχειροῦσι τοῖς ὀρφανοῖς.

f σκιαγραφέω. g γίνομαι. h κάμνω. i ὑπουργέω. k ὑφίστημι.

Gregorius Ecebolio.

Aduersus meipsum nonnihil exclamabo (ac dolenti ignoscendum est, ea, quæ dolentis sunt, loquenti) [a] O praua & maligna caruncula, quibus me malis afficis? In propinquo vir erat, quem etiam procul remotum persequi cùm primis oportebat, tum ob principe viro dignam virtutem, tum ob cæteram mansuetudinem & lenitatem. Tu vero malè ac propemodum

a Corpus suum morbidum alloquitur.

pemodum torpidè te habes, nec tibi quicquam curæ est, quod aliis hoc bono fruentibus, ipsi careamus. Atque huiusmodi nostra est accusatio. Quoniam autem ea, quæ patimur, deplorare minimè sufficit, verùm medicamentum etiam quoddam vulneri adhibendũ est, hoc inuenimus, nimirum vt hanc epistolam scribere audeamus, ac præsentiam per literas adumbremus. Quòd si de nobis quoque præclarè mereri studes & expetis, vir bonitate scatens, fidenti animo calamitosam domum ac misericordia dignam tibi offerimus, viduam ac pupillos lachrymis adhuc calentes, sororem inquam meam, eiusq́ liberos, qui, probo patre nati, & qui tùm imperatoribus non ignobilem, verùm perillustrem operam in armis nauauerit, tum etiam vobis præsidibus multis modis inseruierit (si Nicobuli nomen ad tuas aures peruenit) nunc grauißima quæq́ pati periclitantur. Etenim post amicorum deditionem & iusiurandum illud, quod ob inquisitionem subierunt, nunc rursus pupillos vexare conantur.

Γρηγόριος Ὀλυμπίῳ.

Πάλιν γράφω, [a] παρεῖναι δέον. ἀλλὰ παρὰ 11.
σοῦ μοι τὸ θάρσος, ὦ καὶ τῶν πραγμάτων a πάρειμι.
βραβευτὰ, (ἵνα πρῶτον εἴπω τὸ πρῶτον) καὶ
τῶν κοινῶν ἐπανορθωτὰ, καὶ θεόθεν τὰ ἀμφότε-

b λαμβάνω. ρα, ὁ καὶ μισθὸν εὐσεβείας [b] λαβών, τὸ κατὰ νοῦν χωρεῖν σοι τὰ πράγματα, καὶ μόνῳ τυγχάνειν ἁλωτά, τὰ μὴ τοῖς ἄλλοις ἁλώσιμα. σύνεσις γάρ σοι καὶ ἀνδρεία τὴν ἀρχὴν ἄγουσιν, ἡ μὲν εὑρίσκουσα τὸ πρακτέον, ἡ δὲ ῥᾳδίως [c] ἐπιτελοῦσα τὸ [d] εὑρεθέν. καὶ τὸ μέγιστον, ἡ τῆς χειρὸς καθαρότης, ᾗ πάντα εὐθύνεται. ποῦ σοι χρυσὸς ὁ ἄδικος; οὐδ' ἐγένετο, πρῶτος ἔξω [e] κατακριθεὶς, ὡς ἀφανὴς τύραννος. ποῦ δὲ ἀπέχθεια; κατακέκριται. ποῦ δὲ χάρις; ἐνταῦθά τι κλίνῃ, (κατηγορήσω γάρ σου μικρὸν) ἀλλὰ θεοῦ φιλανθρωπίαν μιμούμενος, ἣν καὶ νῦν αἰτεῖ δι' ἡμῶν Αὐρήλιος, ὁ σὸς στρατιώτης, ὃν ἄφρονα φυγάδα καλῶ, καὶ ἱκέτην σώφρονα, ὅτι ὑπὸ τὰς ἡμετέρας ἑαυτὸν τέθηκε χεῖρας, καὶ διὰ τῶν ἡμετέρων τὰς σάς. ὥσπερ τινα εἰκόνα βασιλικὴν, τὴν πολιὰν ἡμῶν προβαλλόμενος, καὶ τὴν ἱερωσύνην, ἣν αἰδεῖσθαι πολλάκις καθωμολόγησας. ἰδού σοι προσάγει τοῦτον ἡ θυηφόρος αὕτη χεὶρ καὶ ἀναίμακτος, καὶ πολλοὺς μὲν ἐπαίνους σοι γράψασα, γράψουσα δὲ, οἶδ' ὅτι καὶ πλείους, εἰ θεὸς παρατείνοιεν ἡμῖν τὴν ἀρχὴν, τήν τε σὴν λέγω, καὶ τοῦ συνεργοῦ τῆς σῆς θέμιδος.

c ἐπιτελέω

d εὑρίσκω.

e κατακρίνομαι.

Grego-

Gregorius Olympio.

R*Vrsus scribo, cùm adesse oporteat: sed mihi à te fiducia hæc nascitur, ô & negociorum arbiter (vt primò loco, quod primum est, dicam) & publicarum rerum corrector, atq; vtrunq; diuinitus, qui etiam hoc pietatis præmium accepisti, vt res tibi ex animi sententia fluant, solusq; ea assequi possis, quæ omnibus aliis negata sunt. Prudentiæ enim & fortitudinis ductu atque auspiciis imperium administras: quarum altera, quæ facienda sunt, excogitat: altera, quod est, excogitatũ, facilè exequitur. Huc, quod maximum est, accedit, manus puritas & integritas, qua omnia regũtur. Vbinam tibi aurũ iniustè collectum? Nec fuit quidẽ vnquam, vtpote ante omnia damnatum & eiectum, tanquam tectus & obscurus tyrannus. Vbi inimicitia? Damnata est. Vbi fauor? hic nonnihil flecteris (paulum enim te accusabo) verùm Dei benignitatem imitans, quam nunc quoquè per nos petit atque implorat Aurelius, miles tuus, quem dementem quidem perfugam voco, prudentem autem supplicem, quoniam in manus nostras confugit, ac per nostras in tuas, caniciem nostram & sacerdotium (quæ tibi venerationi esse sæpe confessus es) instar* [a] *imperatoriæ cuiusdam imaginis obtendens. en tibi hunc offert sacrifica hæc manus, & incruenta, quæque & multas tuas laudes literis*

[a] Qui anti quitus ad hasce imagines cõfugiebãt, ius asyli consequebãtur, nec inde abstrahi poterant.

Hoc significare videtur Theologus. *literis mandauit, & mandabit, si Deus nobis & tuum & Themidis, tui socij & adiutoris imperium prorogarit.*

Γρηγόριος Νεμεσίῳ.

12\. Εἴ σοι δοκῶ φορτικὸς συχνὰ ἐπιστέλλων, μὴ θαυμάσῃς, εἰ [a] καιρῷ σου πρὸς σὲ τὸν δίκαιον δικαστήν. καὶ οἶδ' ὅτι [b] ἀφήσεις με τῆς αἰτίας. αὐτός μοι τοῦ θαῤῥεῖν αἴτιος [c] γέγονας, τῷ προθύμως παρέχειν τὸ αἰτεῖν [d] προκαλούμενος. καὶ θαυμαστὸν οὐδέν. πολλὰ γάρ ἐστιν οἷς προθύμως ἂν [e] δοίης τὴν χάριν, τὸ γῆρας, ἡ ἀῤῥωστία, ἡ κοινωνία τῶν λόγων (εἴπερ τι καὶ τὸ ἡμέτερον ἐν λόγοις) αὐτὸ τὸ ποθεῖν τὴν συντυχίαν, ὑπὸ δὲ τῆς ἀσθενείας κωλύεσθαι, καὶ διαμαρτάνειν τοσούτου πράγματος. ἀλλὰ τίς ἡ πρεσβεία; καὶ εἰ μὲν ἄδικος, [f] αἰσχυνοίμην ἄνδρα τοσοῦτον. εἰ δὲ δικαία, προθύμως ἐπίνευσον. πάλιν ὁ αἰδεσιμώτατος υἱὸς ἡμῶν Θεοδόσιος ἥκει πρὸς τὴν σὴν λογιότητα, ὁ ἐμὸς καὶ σός. σκοπῷ μὲν ἐμός, σὸς δὲ ἱκέτης. ἥκει πρεσβεύων ὑπὲρ ἐλεεινοῦ πράγματος. ὀρφανοὶ κινδυνεύουσι, καὶ, τὸ ἀνθρώπινον, ἐν μέσῳ ἄδηλον ὤν, εἰς ὃ [g] περιστήσεται. καὶ μετάστασιν [h] αἰδούμεθα πατρὸς, πολλοῖς ὀρφανίαν ἐπικουφίσαντος. μίαν τοῖς πᾶσι [i] κατάθου χάριν.

a καιρέω. b ἀφίημι. c γίνομαι. d προκαλέομαι. e δίδωμι. f αἰσχύνομαι. g περίσταμαι. h αἰδέομαι. i κατατίθημι.

εἶν. [k] δὸς χεῖρα τῇ συμφορᾷ, ἣν αὐτὸς δοκιμά- k δίδωμι.
σειε. δεῖται μὲν γὰρ οὐδεμιᾶς προσθήκης εἰς εὐ-
δοξίαν ἡ σὴ ἀρχή. οὐδὲ γὰρ λαμπρότητος ἑωσ-
φόρος. εἰ δέ τινα καὶ προσθήκην [l] ζητοίης, οὐκ l ζητέω.
ἂν μείζων ταύτης, εὖ [m] ἴσθι, οὐδὲ λαμπροτέρα m ἴσημι.
γένοιτο, ὡς πολλοὶ τἀληθῆ βουλόμενοι λέγειν, τὴν
σὴν καλοκἀγαθίαν διδάξουσιν.

Gregorius Nemeſio.

SI tibi hoc nomine moleſtus & importunus eſſe videor, quòd identidem ad te ſcribam, ne mireris, ſi te apud te iuſtum iudicem accuſem: nec dubito quin me culpa liberaturus ſis. Ipſe mihi fiduciæ huius cauſam attuliſti, nimirum per id quod prompto animo largiris, ad petendum alliciens, nec mirum id videri debet. Multa enim ſunt ob quæ promptè & impigrè nobis gratificeris, ſenectus, morbus, ſtudiorum communitas, (ſi quid tamen nos quoq; in literis ſumus) hoc ipſum, quod, cùm congreſſum tuum mirificè exoptem, infirmitate tamen prohibear, nec re tantoperè expetita potiri queam. Sed quænam hæc poſtulatio eſt? & ſiquidem iniqua, tanti viri os vultumque erubeſcerem: Si autem æqua, prompto animo petitioni cede atque annue. Rurſus venerabilis filius noſter Theodoſius ad te proficiſcitur, meus inquam & tuus, propoſito nempe meus, tuus verò ſupplex. Proficiſcitur autem vt pro re triſti & commi-

ferabili deprecetur. Orphani periclitantur, & vt humana incerta sunt, quorsum res interim recidet obscurum est, ac veremur ne patrio solo migrandum sit patri, à quo multorum Orphanorum inopia subleuata est. Proinde hoc beneficij gratiæ omnibus tribue. Porrige manum calamitati, quam tu ipse probabis, Nulla quidem gloriæ accessione imperium tuum opus habet, quemadmodum nec lucifer splendore. Sed tamen si cumulum aliquem quæras, nullus isto, mihi crede, nec maior nec præclarior contigerit, vt permulti veritatis studiosi probitatem tuam docebunt.

Γρηγόριος Ἰουλιανῷ.

13. Ἐμοὶ πρὸς σε φιλίας μὲν πολλὰ δίκαια, καὶ
εἰ μή τι ἄλλο, οἱ λόγοι, ὧν οὐδὲν τοῖς πολλοῖς
αἰδεσιμώτερον, οὐδὲ οἰκειότερον. ἀπεχθείας δὲ
ὑπόθεσις οὐδὲ μία, οὔτε ἐστὶ, μὴ δὲ γένοιτο.
ἃ γὰρ πρὸς τὸν ἀδελφὸν Νικόβουλον, ἢ πα-
a λυπέομαι. ρὰ Νικοβούλου [a] λελύπησαι, οὐκ ἐμὰ μᾶλλον,
ἢ τὰ ἐν Ἰνδοῖς πρατ]όμενα, ὅσον ἐπὶ τὸ μὴ
συναρέσκεσθαι μηδενὶ τῶν γεγενημένων. Μὴ
τοίνυν ἐμοὶ ταῦτα λογίσῃ, μηδὲ διὰ τοῦτο
χεῖρόν τι βουλεύσῃ περὶ σεαυτοῦ, ἀλλ' ἣν
b ὑπισχνοῦμαι. [b] ὑπέσχου τοῖς πτωχοῖς φιλανθρωπίαν, ταύ-

τὴν

τὴν ἐπιτελῆ ποίησον. καὶ μὲν τοι καὶ τοὺς πε-
ρὶ ἐμὲ κληρικοὺς, ὅσους περ [c] ἠτησάμην, τῆς c αἰτέω.
γραφῆς [d] ἐλευθέρωσον, ἐκεῖνο [e] ἐνθυμηθεὶς, d ἐλευθε-
ὅτι λίαν τῶν ἀπίστων ἐστὶν, ἄλλους μὲν καὶ οὐ- ρόω.
σίαν ὅλην καθιεροῦν τῷ Θεῷ, σὲ δὲ μηδὲ e ἐνθυμέο-
προῖκα βούλεσθαι εἶναι χρηστόν· καὶ ἄλλους μαι.
μὲν πόλεσι πάντας τοὺς περὶ τὸ βῆμα [f] δο- f δίδομαι.
θῆναι, ἡμῖν δὲ μηδὲ τοὺς συνόντας καὶ θε-
ραπεύοντας, καὶ ταῦτα παρ' ὑμῶν τῶν οἰκειο-
τάτων, οὓς τυχὸν οὐκ [g] αἰσχυνοῦμεν. ταῦτα [h] ἐ- g αἰσχύνο-
πισταλῆναί σοι παρ' ἡμῶν καλῶς εἶχε, [i] συν- μαι.
τυχεῖν δὲ οὐκ ἐξεγένετο, ἐπειδή με ἡ νό- h ἐπιστέλ-
σος [k] ἐξώρμησε πρὸς τὰ Τύανα θεραπείας λομαι.
[l] τευξόμενον, ἕως καιρός. καὶ συγγίνωσκε. ἀν- i συντυγ-
τὶ δὲ ἡμῶν, ἔχεις θεὸν παρόντα καὶ βοηθοῦντα χάνω.
τοῖς πένησι, τὸν πολὺ τῆς παρουσίας ἡμῶν αἰδε- k ἐξορμάω.
σιμώτερον. l τυγχάνω

Gregorius Iuliano.

Mihi tecum amicitiæ quidem multa iura intercedunt, & ſi nihil aliud, literæ certè, quibus apud multos nihil venerabilius eſt, nec quod maiorem ad conciliandum amorem vim habeat; offenſionis autem & inimicitiæ, nec cauſa vlla eſt, atq; vti-

nam ne sit vnquam. Nam ea ob quæ, aduersus fratrem Nicobulum, infenso animo es, aut ab eo mœrore affectus es, non magis ad me pertinent, quàm quæ apud Indos geruntur: hoc vno excepto, quod nihil eorum, quæ contigerunt, mihi probatur. Quamobrem hæc mihi ne imputes, nec propterea deterius quoddam de teipso consilium ineas: verùm benignitatem eam, quam pauperibus pollicitus es, præsta. Quinetiam clericos meos, quos à te poposci, tributi pensione libera: illud tecum reputans, rem esse magnoperè incredibile, alios suas quoque omnes facultates Deo consecrare, te autem ne gratis quidem benignum esse velle: atque aliis vrbibus omnes eos, qui sacrarium ambiunt, donari: nobis autem ne eos quidem, quorum consuetudine vtimur, & à quibus colimur & obseruamur: idque à vobis, quibuscum summa nobis est familiaritas, & quibus fortasse minimè dedecori erimus. Hæc à nobis ad te scribi par fuit. Nec enim congredi tecum licuit: propterea quod morbus me ad Tyanensem vrbem proficisci coëgit, vt, dum per tempus licet, illic curarer. Idque velim ignoscas. Pro nobis autem Deum præsentem habes, ac pauperibus opem ferentem, qui præsentia nostra multa augustior & venerabilior est.



Γρηγό-

Γρηγόριος Νεμεσίῳ.

14.

Ἐπαινοῦσί τινες Πυθαγόραν τὸν Σάμιον, ὅτι [a] θῦσαι [b] δέησαν αὐτῷ, ἐπειδή γε ἄλλως οὐκ [c] ἐπῄνει τὸ θύειν, τηλίκῳ βοὶ τὴν θυσίαν [d] ἀφωσιώσατο· μηδὲ γὰρ χρῆναι νεκρὰ νεκροῖς καθαίρειν. οὕτω λέγων τὰ σώματα. τοῦτόν μοι καὶ αὐτὸς [e] μιμήσασθαι καλῶς ἔχεις, ὦ θαυμάσιε. ἐπειδὴ δὲ τὸ προστιμᾶν [f] ἀπηγόρευταί σοι, καὶ μόνος ἀρχόντων, ἢ κομιδῇ σὺν ὀλίγοις, ἀζήμιον [g] ἐνίδρυσας τοῖς ἀρχομένοις τὸν φόβον, μηδὲ Οὐαλεντινιανὸν [h] ζημιῶσαι τὸν σὸν καὶ ἡμέτερον (ὑπὲρ συγγενοῦς γὰρ πρεσβεύομεν) ἀλλ' ὅσον [i] φθέγξασθαι [k] πλάσαντα τὴν προστίμησιν, [l] ἐπισχεῖν τὴν ζημίαν. καὶ γὰρ οὐδὲ οἰκείας ῥαθυμίας ὑπέχει δίκην, εἰ δεῖ θαρρήσαντας τοῦτο εἰπεῖν. Εἰ μὲν οὖν ὡς δικαστὴν πείθομεν, τοῦτο ἄριστον· εἰ δὲ μή, πρὸς τὸν φίλον [m] καταφευξόμεθα. καὶ τοῦτο φθεγξόμεθα πρός τὴν σὴν λογιότητα, ὅπερ λέγεται πρὸς ἑαυτοῦ φίλον γεγραφέναι τις. ὅτι τὸν δεῖνα, εἰ μὲν οὐδὲν ἀδικεῖ, διὰ τὸ δίκαιον ἄφες· εἰ δὲ ἀδικεῖ, διὰ τὴν ἡμετέραν φιλίαν ἄφες, πάντως δὲ ἄφες, ἐκεῖνο πρὸς τοῖς ἄλλοις ἐνθυμηθείς, ὅτι τὸ μὲν κοινὸν οὐδὲν αὖ μέγα [n] ὀνήσαιτο ἵππων προστίμησις. ἡμῖν δὲ ἡ χάρις ἀνά-

a θύω. b δεῖ. c ἐπαινέω. d ἀφοσιόομαι. e μιμέομαι. f ἀπαγορεύομαι. g ἐνιδρύω. h ζημιόω. infinitiuus pro imperat. i φθέγγομαι. k πλάττω. l ἐπέχω. infinit. pro imperati. m καταφεύγω. n ὄναμαι.

κρατῶ. καὶ τοῦτο δὲ προσκείσθω, τῇ συμ-
• βοηθεῖν. φορᾷ τοῦ ἀνδρὸς ° βοήθησον σφόδρα συντρι-
βέντος ἀπὸ συμπτώματος.

Gregorius Nemesio.

SAmium Pythagoram nonnulli hoc nomine laudibus efferunt, quod cùm in eam necessitatem venisset, vt ipsi sacrificandum esset, (quandoquidem alioqui sacrificia minimè probabat) boue ex argilla confecto sacrificium exoluit: quod scilicet negaret mortua mortuis expianda; nam ita corpora appellabat. Hunc mihi tu quoq; vir eximie, pulchrè imitari posse videris. Quoniam autem mulctam irrogare tibi interdictum est, tu qui solus ex omnibus praesides, aut certè cum perpaucis, iis quibus praes, metum detrimenti expertem constituisti, ne quaeso committas, vt Valentinianum tuum ac nostrum (pro cognato enim loquor) incommodo afficias, verùm sermone tenus efficta mulcta, detrimentum reprime. Nam ne propriae quidem inertiae ac socordiae (si verum intrepido animo dicendum est) poenam suffert. Ac si quidem te, vt iudicem, hac oratione permouemus, hoc sanè optimum fuerit: Sin minùs, ad amicum confugimus: hisq; ad te hominem eruditum verbis vtemur, quae ad amicum suum quidam scripsisse dicitur. Petrum, si nihil sceleris admisit, ob ius ipsum & aequitatem absolue: si admisit, in nostri

gratiam

gratiam abſolue. omnino autem abſolue. Illud præter cætera tecum reputans, fiſco quidẽ equorum mulctam haud magnum commodum allaturam eſſe: at gratiam hanc perpetuò in animis noſtris inſcriptam & exſculptam fore. Addam illud etiam: Hominis calamitati fer opem, caſu quodam vehementer obtriti atque confecti.

Γρηγόριος Γρηγορίῳ ἄρχοντι.

Οὐκ ἐπαινῶ τὸν ἡσίοδον, ὅτι τοὺς ὁμοτέχνους ἀντιτέχνους ὀνόμασε. καὶ κεραμεὺς κεραμεῖ κοτέει, λέγων, καὶ τέκτονι τέκτων. οὐ γὰρ φθονεῖ μᾶλλον, ἢ προστρέχει τε καὶ ἀσπάζεται, ὡς ἐμὸς λόγος, καὶ ὡς οἰκείου περιέχεται, ἀοιδὸς δὲ ἀοιδῷ τοσοῦτον πλέον, ὅσῳ καὶ λόγος ἐστὶ τούτοις τὸ σπουδαζόμενον. τοῦτο δὲ καὶ αὐτὸς [a] πεπονθὼς πρὸς τὴν σὴν λογιότητα, εἰ μὲν οὕτως εἶχον τοῦ σώματος, ὥστε ταῖς τῆς ψυχῆς ὁρμαῖς ὑπουργεῖν δύνασθαι, οὐκ ἂν μέλις [b] ἔφθη καὶ [c] προδραμὼν καὶ [d] περιπλυξάμενος, καὶ τὰ ἐπιβατήρια [e] προσφθεγξάμενος. ἀλλ' ἡλίῳ μὲν, ἐπισκοτεῖ νέφος, ἐμοὶ δὲ καὶ ἡ ἀῤῥωστία, καὶ τὸ φθονερὸν τοῦ σαρκίου καὶ δεσμωτήριον. ἆρα

ᶠ δέξῃ

15.

a πάσχω.

b φθάνομαι.

c προτρέχω.

d περιπλύσσομαι.

e προσφθέγγομαι.

e ἐξευρίσκω. δεῖ λινος καὶ φαρμάκου πρὸς τὴν πληγὴν τοῦτο [e] ἐξεύρομεν, τὸ θαῤῥῆσαι πρὸς τὴν ἐπιστολὴν ταύ-
f σκιαγραφέω. την, καὶ τοῖς γράμμασι [f] σκιαγραφῆσαι τὴν παρουσίαν. εἰ δὲ καὶ τὸ εὖ ποιεῖν ἡμᾶς ἐπιζητεῖς, βρύων τὸ ἀγαθὸν, προσοίσομεν θαῤῥοῦντες οἰκίαν ἐλεεινὴν καὶ φιλανθρωπίας ἀξίαν, χήραν μετ' ὀρφανῶν ἔτι θερμῶν ἐν τοῖς δάκρυσι· τὴν δὲ ἀδελφὴν τὴν ἐμὴν λέγω, καὶ τοὺς ταύτης παῖδας.
g γίνομαι. οἱ πατρὸς ἀγαθοῦ [g] γεγονότες, καὶ πολλὰ μὲν βα-
h κάμνω. σιλεῦσι [h] καμόντος ἐν ὅπλοις οὐκ ἀνωνύμως, ἀλλὰ καὶ λίαν λαμπρῶς, πολλὰ δὲ τοῖς ἄρχουσιν
i ὑπουργέω. ὑμῖν [i] ὑπουργήσαντος (εἴ τινα νικόβουλον ἀκούεις) κινδυνεύουσι νῦν πάσχειν τὰ χαλεπώτατα. μετὰ γὰρ τὴν τῶν φίλων ἔκδοσιν καὶ τοὺς ὅρκους ἐ-
k ὑφίστημι. κείνους, οὓς ἐπὶ τῇ ἐξετάσει [k] ὑπέστησαν, νῦν πάλιν ἐπηρεάζειν ἐπιχειροῦσι τοῖς ὀρφανοῖς.

Gregorius Ecebolio.

a Corpus suum morbidum alloquitur. *ADuersus meipsum nonnihil exclamabo (ac dolenti ignoscendum est, ea, quæ dolentis sunt, loquenti)* [a] *O praua & maligna caruncula, quibus me malis afficis? In propinquo vir erat, quem etiam procul remotum persequi cùm primis oportebat, tum ob principe viro dignam virtutem, tum ob cæteram mansuetudinem & lenitatem. Tu vero malè ac propemodum*

pemodum torpidè te habes, nec tibi quicquam curæ eſt, quod aliis hoc bono fruentibus, ipſi careamus. Atque huiuſmodi noſtra eſt accuſatio. Quoniam autem ea, quæ patimur, deplorare minimè ſufficit, verùm medicamentum etiam quoddam vulneri adhibendũ eſt, hoc inuenimus, nimirum vt hanc epiſtolam ſcribere audeamus, ac præſentiam per literas adumbremus. Quòd ſi de nobis quoque præclarè mereri ſtudes & expetis, vir bonitate ſcatens, fidenti animo calamitoſam domum ac miſericordia dignam tibi offerimus, viduam ac pupillos lachrymis adhuc calentes, ſororem inquam meam, eiusq́ue liberos, qui, probo patre nati, & qui tùm imperatoribus non ignobilem, verùm perilluſtrem operam in armis nauauerit, tum etiam vobis præſidibus multis modis inſeruierit (ſi Nicobuli nomen ad tuas aures peruenit) nunc grauiſſima quæq́ue pati periclitantur. Etenim poſt amicorum deditionem & iuſiurandum illud, quod ob inquiſitionem ſubierunt, nunc rurſus pupillos vexare conantur.

Γρηγόριος Ὀλυμπίῳ.

Πάλιν γράφω, [a] παρεῖναι δέον. ἀλλὰ παρὰ 11.
σοῦ μοι τὸ θάρσος, ὦ καὶ τῶν πραγμάτων
βραβευτὰ, (ἵνα πρῶτον εἴπω τὸ πρῶτον) καὶ
τῶν κοινῶν ἐπανορθωτὰ, καὶ θεόθεν τὰ ἀμφότε-

[a] πάρειμι.

b λαμβάνω.

ρα, ὁ καὶ μισθὸν εὐσεβείας [b] λαβών, τὸ κατὰ νοῦν χωρεῖν σοι τὰ πράγματα, καὶ μόνῳ τυγχάνειν ἀλωτά, τὰ μὴ τοῖς ἄλλοις ἁλώσιμα. σύνεσις γάρ σοι καὶ ἀνδρεία τὴν ἀρχὴν ἄγουσιν, ἡ μὲν εὑρίσκουσα τὸ πρακτέον, ἡ δὲ ῥᾳδίως [c] ἐπιτελοῦσα τὸ [d] εὑρεθέν. καὶ τὸ μέγιστον, ἡ τῆς χειρὸς καθαρότης, ᾗ πάντα εὐθύνεται. ποῦ σοι χρυσὸς ὁ ἄδικος; οὐδὲ ἐγένετο, πρῶτος ἔξω [e] κατακριθείς, ὡς ἀφανὴς τύραννος. ποῦ δὲ ἀπέχθεια; κατακέκριται. ποῦ δὲ χάρις; ἐνταῦθά τι κλίνῃ, (κατηγορήσω γάρ σου μικρὸν) ἀλλὰ θεοῦ φιλανθρωπίαν μιμούμενος, ἣν καὶ νῦν αἰτεῖ δι' ἡμῶν Αὐρήλιος, ὁ σὸς στρατιώτης, ὃν ἄφρονα φυγάδα καλῶ, καὶ ἱκέτην σώφρονα, ὅτι ὑπὸ τὰς ἡμετέρας ἑαυτὸν τέθηκε χεῖρας, καὶ διὰ τῶν ἡμετέρων τὰς σάς. ὥσπερ τινα εἰκόνα βασιλικήν, τὴν πολιὰν ἡμῶν προβαλλόμενος, καὶ τὴν ἱερωσύνην, ἣν αἰδεῖσθαι πολλάκις καθωμολόγησας. ἰδού σοι προσάγει τοῦτον ἡ θυηφόρος αὕτη χεὶρ καὶ ἀναίμακτος, καὶ πολλοὺς μὲν ἐπαίνους σοι γράψασα, γράψουσα δὲ, οἶδ' ὅτι καὶ πλείους, εἰ θεὸς παραμείνοιεν ἡμῖν τὴν ἀρχὴν, τήν τε σὴν λέγω, καὶ τοῦ συνεργοῦ τῆς σῆς θέμιδος.

c ἐπιτελέω
d εὑρίσκω.
e κατακρίνομαι.

Grego-

Gregorius Olympio.

RVrſus ſcribo, cùm adeſſe oporteat: ſed mihi à te fiducia hæc naſcitur, ô & negociorum arbiter (vt primò loco, quod primum eſt, dicant) & publicarum rerum corrector, atq; vtrunq; diuinitus, qui etiam hoc pietatis præmium accepiſti, vt res tibi ex animi ſententia fluant, ſolusq; ea aſſequi poſſis, quæ omnibus aliis negata ſunt. Prudentiæ enim & fortitudinis ductu atque auſpiciis imperium adminiſtras: quarum altera, quæ facienda ſunt, excogitat: altera, quod eſt, excogitatũ, facilè exequitur. Huc, quod maximum eſt, accedit, manus puritas & integritas, qua omnia regũtur. Vbinam tibi aurũ iniuſtè collectum? Nec fuit quidẽ vnquam, vtpote ante omnia damnatum & eiectum, tanquam tectus & obſcurus tyrannus. Vbi inimicitia? Damnata eſt. Vbi fauor? hîc nonnihil flecteris (paulùm enim te accuſabo) verùm Dei benignitatem imitans, quam nunc quoque per nos petit atque implorat Aurelius, miles tuus, quem dementem quidem perfugam voco, prudentem autem ſupplicem, quoniam in manus noſtras confugit, ac per noſtras in tuas, caniciem noſtram & ſacerdotium (quæ tibi venerationi eſſe ſæpe confeſſus es) inſtar [a] *imperatoriæ cuiuſdam imaginis obtendens. en tibi hunc offert ſacrifica hæc manus, & incruenta, quæque & multas tuas laudes*

[a] Qui anti quitus ad haſce imagines cõfugiebãt, ius aſyli conſequebãtur, nec inde abſtrahi poterant.

 literis

literis mandauit, & mandabit, si Deus nobis & tuum & Themidis, tui socij & adiutoris imperium prorogarit.

Hoc significare videtur Theologus.

Γρηγόριος Νεμεσίῳ.

12. Εἴ σοι δοκῶ φορτικὸς συχνὰ ἐπιστέλλων, μὴ θαυμάσῃς, εἰ [a] κατερῶ σου πρὸς σὲ τὸν δίκαιον δικαστήν. καὶ οἶδ' ὅτι [b] ἀφήσεις με τῆς αἰτίας. αὐτός μοι τοῦ θαῤῥεῖν αἴτιος [c] γέγονας, τῷ προθύμως παρέχειν τὸ αἰτεῖν [d] προσκαλούμενος. καὶ θαυμαστὸν οὐδέν. πολλὰ γάρ ἐστιν οἷς προθύμως ἂν [e] δοίης τὴν χάριν, τὸ γῆρας, ἡ ἀῤῥωστία, ἡ κοινωνία τῶν λόγων (εἴπερ τι καὶ τὸ ἡμέτερον ἐν λόγοις) αὐτὸ τὸ ποθεῖν τὴν συντυχίαν, ὑπὸ δὲ τῆς ἀσθενείας κωλύεσθαι, καὶ διαμαρτάνειν τοσούτου πράγματος. ἀλλὰ τίς ἡ πρεσβεία; καὶ εἰ μὲν ἄδικος, [f] αἰσχυνοίμην ἄνδρα τοσοῦτον. εἰ δὲ δικαία, προθύμως ἐπίνευσον. πάλιν ὁ αἰδεσιμώτατος υἱὸς ἡμῶν Θεοδόσιος ἥκει πρὸς τὴν σὴν λογιότητα, ὁ ἐμὸς καὶ σός. σκοπῷ μὲν ἐμός, σὸς δὲ ἱκέτης. ἥκει πρεσβεύων ὑπὲρ ἐλεεινοῦ πράγματος. ὀρφανοὶ κινδυνεύουσι, καὶ, τὸ ἀνθρώπινον, ἐν μέσῳ ἄδηλον ὤν, εἰς ὃ [g] περιστήσεται. καὶ μετάστασιν [h] αἰδούμεθα πατρός, πολλοῖς ὀρφανίαν ἐπικουφίσαντος. μίαν τοῖς πᾶσι [i] κατάθου χάριν.

a κατερέω.
b ἀφίημι.
c γίνομαι.
d προσκαλέομαι.
e δίδωμι.
f αἰσχύνομαι.
g περιίσταμαι.
h αἰδέομαι.
i καταπίθομαι.

ειν. [k] δὸς χεῖρα τῇ συμφορᾷ, ἣν αὐτὸς δοκιμά- k δίδωμι.
σειε. δεῖται μὲν γὰρ οὐδεμιᾶς προσθήκης εἰς εὐ-
δοξίαν ἡ σὴ ἀρχή. οὐδὲ γὰρ λαμπρότητος ἑωσ-
φόρος. εἰ δέ τινα καὶ προσθήκην [l] ζητοίης, οὐκ l ζητέω.
ἂν μείζων ταύτης, εὖ [m] ἴσθι, οὐδὲ λαμπροτέρα m ἴσημι.
γένοιτο, ὡς πολλοὶ τἀληθῆ βουλόμενοι λέγειν, τὴν
σὴν καλοκἀγαθίαν διδάξουσιν.

Gregorius Nemeſio.

SI tibi hoc nomine moleſtus & importunus eſſe videor, quòd identidem ad te ſcribam, ne mireris, ſi te apud te iuſtum iudicem accuſem: nec dubito quin me culpa liberaturus ſis. Ipſe mihi fiduciæ huius cauſam attuliſti, nimirum per id quod prompto animo largiris, ad petendum alliciens, nec mirum id videri debet. Multa enim ſunt ob quæ promptè & impigrè nobis gratificeris, ſenectus, morbus, ſtudiorum communitas, (ſi quid tamen nos quoq; in literis ſumus) hoc ipſum, quod, cùm congreſſum tuum mirificè exoptem, infirmitate tamen prohibear, nec re tantoperè expetita potiri queam. Sed quænam hæc poſtulatio eſt? & ſiquidem iniqua, tanti viri os vultumque erubeſcerem: Si autem æqua, prompto animo petitioni cede atque annue. Rurſus venerabilis filius noſter Theodoſius ad te proficiſcitur, meus inquam & tuus, propoſito nempe meus, tuus verò ſupplex. Proficiſcitur autem vt pro re triſti & commi-

ferabili deprecetur. Orphani periclitantur, &, vt humana incerta sunt, quorsum res interim recidet obscurum est, ac veremur ne patrio solo migrandum sit patri, à quo multorum Orphanorum inopia subleuata est. Proinde hoc beneficij gratiæ omnibus tribue. Porrige manum calamitati, quam tu ipse probabis, Nulla quidem gloriæ accessione imperium tuum opus habet, quemadmodum nec lucifer splendore. Sed tamen si cumulum aliquem quæras, nullus isto, mihi crede, nec maior nec præclarior contigerit, vt permulti veritatis studiosi probitatem tuam docebunt.

Γρηγόριος Ἰουλιανῷ.

13. Ἐμοὶ πρὸς σε φιλίας μὲν πολλὰ δίκαια, καὶ εἰ μή τι ἄλλο, οἱ λόγοι, ὧν οὐδὲν τοῖς πολλοῖς αἰδεσιμώτερον, οὐδὲ οἰκειότερον. ἀπεχθείας δὲ ὑπόθεσις οὐδὲ μία, οὔτε ἐστὶ, μὴ δὲ γένοιτο. ἃ γὰρ πρὸς τὸν ἀδελφὸν Νικόβουλον, ἢ παρὰ Νικοβούλου [a] λελύπησαι, οὐκ ἐμὰ μᾶλλον, ἢ τὰ ἐν Ἰνδοῖς πραττόμενα, ὅσον ἐπὶ τὸ μὴ συναρέσκεσθαι μηδενὶ τῶν γεγενημένων. Μὴ τοίνυν ἐμοὶ ταῦτα λογίσῃ, μηδὲ διὰ τοῦτο χεῖρόν τι βουλεύσῃ περὶ σεαυτοῦ, ἀλλ' ἣν [b] ὑπέσχου τοῖς πτωχοῖς φιλανθρωπίαν, ταύ-

a λυπέομαι.

b ὑπισχνοῦμαι.

τὴν ἐπιτελῆ ποίησον. καὶ μὲν τοι καὶ τοὺς περὶ ἐμὲ κληρικοὺς, ὅσους περ [c] ἠτησάμην, τῆς γραφῆς [d] ἐλευθέρωσον, ἐκεῖνο [e] ἐνθυμηθεὶς, ὅτι λίαν τῶν ἀπίστων ἐστὶν, ἄλλους μὲν καὶ οὐσίαν ὅλην καθιεροῦν τῷ Θεῷ, σὲ δὲ μηδὲ τρίχα βούλεσθαι εἶναι χρηστόν· καὶ ἄλλους μὲν πόλεσι πάντας τοὺς περὶ τὸ βῆμα [f] δοθῆναι, ἡμῖν δὲ μηδὲ τοὺς συνόντας καὶ θεραπεύοντας, καὶ ταῦτα παρ' ὑμῶν τῶν οἰκειοτάτων, οὓς τυχὸν οὐκ [g] αἰσχυνοῦμεν. ταῦτα [h] ἐπιστελῆναί σοι παρ' ἡμῶν καλῶς εἶχε, [i] συντυχεῖν δὲ οὐκ ἐξεγένετο, ἐπειδή με ἡ νόσος [k] ἐξώρμησε πρὸς τὰ Τύανα θεραπείας [l] τευξόμενον, ἕως καιρός. καὶ συγγίνωσκε. ἀντὶ δὲ ἡμῶν, ἔχεις Θεὸν παρόντα καὶ βοηθοῦντα τοῖς πένησι, τὸν πολὺ τῆς παρουσίας ἡμῶν αἰδεσιμώτερον.

c αἰτέω.
d ἐλευθερόω.
e ἐνθυμέομαι.
f δίδομαι.
g αἰσχύνομαι.
h ἐπιστέλλομαι.
i συντυγχάνω.
k ἐξορμάω.
l τυγχάνω

Gregorius Iuliano.

Mihi tecum amicitiæ quidem multa iura intercedunt, & ſi nihil aliud, literæ certè, quibus apud multos nihil venerabilius eſt, nec quod maiorem ad conciliandum amorem vim habeat; offenſionis autem & inimicitiæ, nec cauſa vlla eſt, atq; vtinam

nam ne sit vnquam. Nam ea ob quæ, aduersus fratrem Nicobulum, infenso animo es, aut ab eo mœrore affectus es, non magis ad me pertinent, quàm quæ apud Indos geruntur: hoc vno excepto, quod nihil eorum, quæ contigerunt, mihi probatur. Quamobrem hæc mihi ne imputes, nec propterea deterius quoddam de teipso consilium ineas: verùm benignitatem eam, quam pauperibus pollicitus es, præsta. Quinetiam clericos meos, quos à te popoſci, tributi pensione libera: illud tecum reputans, rem esse magnoperè incredibilē, alios suas quoque omnes facultates Deo consecrare, te autem ne gratis quidem benignum esse velle: atque aliis vrbibus omnes eos, qui sacrarium ambiunt, donari: nobis autem ne eos quidem, quorum consuetudine vtimur, & à quibus colimur & obseruamur: idque à vobis, quibuscum summa nobis est familiaritas, & quibus fortasse minimè dedecori erimus. Hæc à nobis ad te scribi par fuit. Nec enim congredi tecum licuit: propterea quod morbus me ad Tyanensem vrbem proficisci coëgit, vt, dum per tempus licet, illic curarer. Idque velim ignoscas. Pro nobis autem Deum præsentem habes, ac pauperibus opem ferentem, qui præsentia nostra multa augustior & venerabilior est.



Γρηγό-

Γρηγόριος Νεμεσίῳ.

14.

Ἐπαινοῦσί τινες Πυθαγόραν τὸν Σάμιον, ὅτι [a] θῦσαι [b] δεῆσαν αὐτῷ, ἐπειδή γε ἄλλως οὐκ [c] ἐπῄνει τὸ θύειν, πηλίνῳ βοῒ τὴν θυσίαν [d] ἀφωσιώσατο· μηδὲ γὰρ χρῆναι νεκρὰ νεκροῖς καθαίρειν. οὕτω λέγων τὰ σώματα. τοῦτόν μοι καὶ αὐτὸς [e] μιμήσασθαι καλῶς ἔχεις, ὦ θαυμάσιε. ἐπειδὴ δὲ τὸ προστιμᾶν [f] ἀπηγόρευταί σοι, καὶ μόνος ἀρχόντων, ἢ κομιδῇ σὺν ὀλίγοις, ἀζήμιον [g] ἐνίδρυσας τοῖς ἀρχομένοις τὸν φόβον, μηδὲ Οὐαλεντινιανὸν [h] ζημιῶσαι τὸν σὸν καὶ ἡμέτερον (ὑπὲρ συγγενοῦς γὰρ πρεσβεύομεν) ἀλλ᾽ ὅσον [i] φθέγξασθαι [k] πλάσαντα τὴν προστίμησιν, [l] ἐπισχεῖν τὴν ζημίαν. καὶ γὰρ οὐδὲ οἰκείας ῥαθυμίας ὑπέχει δίκην, εἰ δεῖ θαῤῥήσαντας τοῦτο εἰπεῖν. Εἰ μὲν οὖν ὡς δικαστὴν πείθομεν, τοῦτο ἄριστον· εἰ δὲ μή, πρὸς τὸν φίλον [m] καταφευξόμεθα. καὶ τοῦτο φθεγξόμεθα πρὸς τὴν σὴν λογιότητα, ὅπερ λέγεται πρὸς ἑαυτοῦ φίλον γεγραφέναι τις. ὅτι τὸν δεῖνα, εἰ μὲν οὐδὲν ἀδικεῖ, διὰ τὸ δίκαιον ἄφες· εἰ δὲ ἀδικεῖ, διὰ τὴν ἡμετέραν φιλίαν ἄφες, πάντως δὲ ἄφες, ἐκεῖνο πρὸς τοῖς ἄλλοις ἐνθυμηθεὶς, ὅτι τὸ μὲν κοινὸν οὐδὲν αὖ μέγα [n] ὀνήσαιτο ἵππων προστίμησις. ἡμῖν δὲ ἡ χάρις ἀνά-

a θύω. b δεῖ. c ἐπαινέω. d ἀφοσιόομαι. e μιμέομαι f ἀπαγορεύομαι. g ἐνιδρύω. h ζημιόω. infinitiuus pro imperat. i φθέγγομαι. k πλάττω. l ἐπέχω. infinit. pro imperati. m καταφεύγω. n ὄναμαι.

gratiam abſolue. omnino autem abſolue. Illud præter cætera tecum reputans, fiſco quidẽ equorum mulctam haud magnum commodum allaturam eſſe: at gratiam hanc perpetuò in animis noſtris inſcriptam & exſculptam fore. Addam illud etiam: Hominis calamitati fer opem, caſu quodam vehementer obtriti atque confecti.

Γρηγόριος Γρηγορίῳ ἄρχοντι.

Οὐκ ἐπαινῶ τὸν ἡσίοδον, ὅτι τοὺς ὁμοτέχνους 15.
ἀντιτέχνους ὀνόμασε. καὶ κεραμεὺς κεραμεῖ κοτέει, λέγων, καὶ τέκτονι τέκτων. οὐ γὰρ φθονεῖ μᾶλλον, ἢ προστρέχει τε καὶ ἀσπάζεται, ὡς ἐμὸς λόγος, καὶ ὡς οἰκείου περιέχεται, ἀοιδὸς δὲ ἀοιδῷ τοσοῦτον πλέον, ὅσῳ καὶ λόγος ἐστὶ τούτοις τὸ σπουδαζόμενον. τοῦτο δὲ καὶ αὐτὸς [a] πεπονθὼς πρὸς τὴν σὴν λογιότητα, εἰ μὲν οὕτως εἶχον τοῦ σώματος, ὥστε ταῖς τῆς ψυχῆς ὁρμαῖς ὑπουργεῖν δύνασθαι, οὐκ ἂν μέλλης [b] ἔφθην καὶ [c] προδραμὼν καὶ [d] περιπλυξάμενος, καὶ τὰ ἐπιβατήρια [e] προσφθεγξάμενος. ἀλλ᾽ ἡλίῳ μὲν, ἐπισκοτεῖ νέφος, ἐμοὶ δὲ καὶ ἡ ἀῤῥωστία, καὶ τὸ φθονερὸν τοῦτο σαρκίον καὶ δεσμωτήριον. ἆρα [f] δέξῃ

a πάσχω.
b φθάνομαι.
c προτρέχω.
d περιπλύσσομαι.
e προσφθέγγομαι.

[f] δέξῃ μου τὴν ἐπιστολὴν, ἀντὶ τῆς παρουσίας; καὶ δέξῃ, λόγιός τε ὢν, καὶ συγγνώμων, εὖ οἶδα τοῦτο, καὶ οὐκ εἰκάζειν ἔχω. ἵν᾽ εἰδῇς ὅσον θαῤῥῶ τῇ σῇ καλοκἀγαθίᾳ, ἰδοὺ καὶ πρεσβείαν προσάγω σοι, σφόδρα ἡμῖν ἀναγκαίαν. καὶ πρὸς τῆς σῆς φιλίας αἰτῶ τὰ τῶν φίλων. τὸν ἐμὸν Νικόβουλον, ἀπὸ τῆς ἐμῆς δεξιᾶς, ἐγχειρίζω σοι σὺν τοῖς ἀδελφοῖς, οὐ [g] δώσοντα δίκην, ἀλλὰ [h] ληψόμενον· καὶ χήραν ἄωρον τὴν τούτων μητέρα, καὶ οἰκίαν ἣν ὅτε λαμπρὰν οὖσαν καὶ ἀπόβλεπτον, ἕως [i] περιῆν ὁ πολὺς ἡμῖν Νικόβουλος, νῦν δὲ οὐδὲ [k] πενθῆσαι [l] συγχωρηθεῖσαν, ἐκ τῶν ἤδη [m] ἀναφανέντων κακῶν, καὶ προσδοκωμένων, εἰ μὴ σοί τε [n] παραστείη, καὶ τῇ σῇ δίκῃ στῆναι πρὸς τὸν πονηρὸν δαίμονα, καὶ ἡμᾶς τιμῆσαι, καὶ τὸ ἀνθρώπινον [o] αἰδεσθῆναι, καὶ λαμπρὰν σεαυτῷ ποιῆσαι τὴν ἀρχὴν, διὰ τῆς εἰς ἡμᾶς εὐποιίας.

f δέχομαι.
g δίδωμι.
h λαμβάνομαι.
i περίειμι.
k πενθέω.
l συγχωρέομαι.
m ἀναφαίνομαι.
n παρίστημι.
o αἰδέομαι

Gregorio Præsidi.

Hesiodum minimè laudo, qui eiusdem artis opifices ἀντιτέχνους, *id est, æmulos aduersariosq́; vocauit his verbis:*

Et faber est fabro, figulo figulusq́; molestus.

Neque enim mea quidem sententia, magis inuidet quàm accurrit, & exosculatur, ac velut familiarem

&

& necessarium complectitur. Cantor autem eo magis cantori adiungitur: quod eorum opera circa vocem ac sermonem versatur. Quo etiam ipse modo erga eloquentiam tuam affectus, siquidem eo corporis statu essem, vt animæ cupiditatibus obseruire posset, nemo me prior ad te complectendum accurrisset, ac magistratum ineuntem consalutasset. Verùm vt solem nubes obscurat, ita me morbus, atq; inuidum hoc corpusculum & ergastulum. Accipiésne igitur præsentiæ vice epistolam? Accipies profectò, vtpote disertus, & ad ignoscendum propensus: nec hoc tantùm coniicio, sed etiam certò mihi persuadeo. Atq; vt intelligas, quantũ probitati & benignitati tuæ confidam, en legationem quoq; nobis admodum necessariam tibi offero, atq; à tua amicitia amicorum officia postulo. Nicobulum meum de manu mea tibi cum fratribus suis trado, non vt pœnas det, sed vt sumat, viduamq́; decrepitam, eorum matrem, & domum quondam illustrem & conspicuam, cùm superstes nobis esset, insignis vir Nicobulus, nunc autem ita miseram, vt ne lugendi quidem potestas ipsi facta sit, tum ob exorta iam mala, tum ob impẽdentia, nisi tibi ac tuæ iustitiæ visum fuerit aduersus malum dæmonem in procinctu stare, nosq́; honore afficere, atq; humanarum rerum fragilitate moueri, clarumq́; & celebrem tibi ipsi magistratum tuum per beneficentiam erga nos reddere.

Γρηγό-

Γρηγορίῳ Φιλαγρίῳ.

16. Λαμβάνονταί σου τινὲς (αἰσθάνομαι γάρ) ὡς
[a] φιλοκαλέω. [a] φιλοκαλοῦντος τὸ μόνον σου κτῆμα, καὶ
φιλεργοῦντος ἐν τοιαύτῃ τῇ καταστάσει τοῦ σώ-
ματος. καὶ θαυμαστὸν οὐδέν. ἐπειδὴ καὶ ῥᾷον
ἐν τοῖς ἀλλοτρίοις ἢ τοῖς οἰκείοις φιλοσοφεῖν. ἐ-
[b] ὁράω. γὼ δὲ εἰ μὲν [b] ἑώρων σε παρὰ τοῦ μετρίου τοῦ-
το ποιοῦντα, ἢ πλεονεκτικῶς ἢ βιαίως τῇ φιλο-
[c] πρόσκειμαι. πονίᾳ [c] προσκείμενον, κἂν [d] ἐμεμψάμην [e] (εἰ-
ρήσεται γὰρ τἀληθὲς) μηδὲν τὴν φιλίαν ἢ τὴν
[d] μέμφομαι. παίδευσιν αἰδεσθείς. εἰ δὲ φιλεργεῖς μὲν, οὐκ
[e] εἰρέω. ἔξω δὲ τοῦ μέτρου, χρὴ δὲ εἰς δέον οἷς φιλερ-
[f] ἐνασχολέω γεῖς, πρόσεστι δὲ καὶ τὸ πάθος, [f] ἐνασχολοῦν
σε ταῖς φροντίσι, καὶ πείθων ὡς ὑπὲρ τὸ σῶμά
σοι τὰ τοῦ σώματος, οὐκ ἔχω πῶς μὴ τοῖς μεμ-
[g] ἐλευθερόω. φομένοις μέμψομαι, σὲ τῆς αἰτίας [g] ἐλευθερῶν.
καὶ πρός γε τούτῳ ἐμαυτὸν πείθω, ὅτι μήτε λο-
γίσασθαι περὶ πραγμάτων σοῦ τις ἀμείνων, ᾧ γε
καὶ πρὸς τὰ ἑαυτῶν ἅπαντες χρῶνται διδασκά-
λῳ καὶ παραινέτῃ, ὁμοίως ἰδίᾳ καὶ δημοσίᾳ, μή-
τε ψυχῆς φροντίσαι φιλοσοφώτερος. εἰ δὲ καὶ
τῷ σώματι τὴν ὑγείαν φυλάσσειν ἢ ἐπανάγειν,
μόνης ἰατρικῆς, τίς οὕτω τολμηρὸς καὶ ἀπαίδευ-
τος, ὥστε σοι περὶ τούτων νομοθετεῖν; σοῦ μὲν

οὖν πολλοὺς [h] ἔα χαίρειν καὶ εἶναι κολοιοὺς πλῆσιν h ἐάω.
ἀετῶν δοκιμάζοντας, αὐτὸς δὲ σεαυτῷ [i] χρῶ i χρέομαι.
συμβούλῳ καὶ τῷ θεῷ, περί τε τοῦ πάθους, καὶ ὅ-
σα περὶ τὸ πάθος, καὶ οὐκ [k] ἁμαρτήσεις τοῦ k ἁμαρ-
δέοντος. τάνω.

Gregorius Philagrio.

SVnt qui te carpant (hoc enim sentio) vnicum tuum prædium ambitiosè, atque in huiusmodi corporis constitutione labores appetentem. Nec mirum illud videri debet. Facilius enim est in alienis, quàm in propriis philosophari. Ego verò, si te hæc facere, aut cum rapacitate ac violentia labori deditum esse conspicerem, obiurgassem te profectò (dicam enim verè) nihil, vel amicitiam nostram, vel eruditionem tuam veritus. Sin autem ita laboribus oblectaris, vt modum non excedas, atq; iis, in quibus libenter operam ponis, ita, vt decet, vteris, acceditq; insuper dolor in curis te occupans, tibiq; persuadens, corporis statum supra corpus tibi esse, facere non possum, quin iis qui tibi succensent, ipse succenseam, teq; culpa liberem. Ac præterea hoc persuasum habeo, neminem esse, qui vel de rebus meliùs ratiocinetur, quàm tu, vtpote quo omnes etiam ad res suas constituendas præceptore, ac consultore priuatim iuxtà, & publicè vtantur:

vel

vel sapientius animam curet. Quòd si corporis quoq; sanitatem tueri, vel reuocare solius est medicinæ, quis tam audax & ineptus erit, vt tibi de his rebus leges statuat? Quocirca homines imperitos valere sine, & graculos esse, aquilarum volatum explorantes: te autem ipsum, ac Deum, tum in dolore, tum in his, quæ ad dolorem spectant, in consilium adhibe: sicq; ab officio minimè aberrabis.

Γρηγόριος Εὐσεβίῳ Ἐπισκόπῳ

Σαμοσατέων ἐν ἐξορίᾳ ὄντι.

17. Ὅτε [a] παρῄει σου ἡ θεοσέβεια διὰ τῆς πατρί-
a πάρειμι. δος ἡμῶν, οὔτε δυνατῶς [b] προκύψαι οἷός
b προκύ- τε [c] ἤμην, ἐν ἐσχάτῃ ἀῤῥωστίᾳ διάγων. [d] ἐλύπει
πτω. δέ με οὐ τοσοῦτον ἡ νόσος τὸν περὶ τῶν ἐσχάτων
c εἰμὶ. φόβον ἐπάγουσα, ἀλλ' ὅτι τῆς ἱερᾶς σου καὶ ἀγα-
d λυπέω. θῆς συντυχίας [e] ἀπεστερούμην. τοσαύτην ἔχω πε-
e ἀποστε- ρὶ τὸ [f] ἰδεῖν σου τὸ τίμιον πρόσωπον ἐπιθυμίαν,
ρέομαι. ὅσην εἰκὸς ἔχειν τὸν χρῄζοντα μὲν θεραπείας τῶν
f εἴδω. ψυχικῶν τραυμάτων, ταύτην δὲ παρὰ τῆς σῆς
τελειότητος ἕξειν ἐλπίζοντα. ἀλλ' εἰ καὶ τῶν ἁ-
μαρτιῶν τῶν ἐμῶν γέγονεν ἔργον, τὸ κατὰ τὸν και-
g διαμαρ- ρὸν ἐκεῖνον [g] διαμαρτεῖν με τῆς σῆς συντυχίας,
τάνω. νῦν διὰ τῆς σῆς ἀγαθότητός ἐστι δυνατὸν γενέ-
σθαι μοί τινα τῶν λυπηρῶν ἐπανόρθωσιν. εἰ γὰρ
[h] κατα-

[h] καταξιώσειας κἀμοῦ μνήμην ποιεῖσθαι ἐν ταῖς εὐπροσδέκτοις σου προσευχαῖς, πάσης ἔσται μοι τοῦτο τῆς παρὰ τοῦ θεοῦ εὐλογίας ἐφόδιον, καὶ ἐν ταύτῃ μου τῇ ζωῇ, καὶ ἐν τῷ αἰῶνι τῷ μέλλοντι. τὸν γὰρ ἄνδρα τοσοῦτον, οὕτως [i] ἐναθλοῦντα τῇ πίστει τοῦ εὐαγγελίου, καὶ τηλικούτους διωγμοὺς [k] ὑπομείναντα, καὶ τοσαύτην ἑαυτοῦ παῤῥησίαν ἐπὶ τοῦ δικαιοτάτου θεοῦ ἑτοιμάζοντα, διὰ τῆς τῶν θλίψεων ὑπομονῆς, τοῦτον καὶ ἡμῶν καταξιοῦν γενέσθαι προστάτην διὰ τῶν προσευχῶν, [l] πέπεισμαι, ὅτι τοσαύτην ἔχει τὴν δύναμιν, ὅση ἂν ἦν μοι καὶ εἰ παρά τινος τῶν ἁγίων μαρτύρων ἐγένετο. ὥστε [m] παρακλήθητι ἀπαραλείπτως [n] μεμνῆσθαι τοῦ σοῦ Γρηγορίου, ἐν οἷς εὔχομαι εἶναί σου τῆς μνήμης ἄξιος.

h καταξιόω
i ἐναθλέω.
k ὑπομένω
l πείθομαι
m παρακαλέομαι.
n μνάομαι

Gregorius Eusebio Samosatensi Episcopo in exilio agenti.

QVo tempore pietas tua per patriam nostram transibat, adeò graui morbo laborabam, vt ne è cubiculo quidem prospicere possem. Me porrò non tàm morbus, quamuis alioqui periculosissimus, excruciabat, quàm quod fausto & sacrosancto tuo con-

gressu priuabar. Tanta quippe vultus istius honorabilis videndi cupiditate teneor, quanta eum teneri par est, qui spiritualium vulnerum curatione indiget, eamq́ à præstantia tua consecuturum sperat. Etsi autem hoc peccatis meis ascribendum est, quòd tunc tecum congredi non licuit: potest tamen nunc quoque bonitas tua molestiis meis nõnihil medicinæ afferre. Nam si mei quoq́ memoriæ in Deo acceptissimis tuis precibus habere digneris, id vtiq́ mihi omnis diuinæ benedictionis viaticum futurum est, tum in hac vita mea, tum in futuro æuo. Tantum enim virum tot ærumnas pro euangelij fide perferentẽ, tantisq́ persecutionibus vexatũ, tantam deniq́ sibi ipsi apud iustissimum Deum libertatẽ per calamitatum perpessionẽ comparantẽ, hunc inquam patronum quoq́ nostrum per orationes fieri dignari, tantam vim habere mihi persuadeo, quantam si vel à quodam sanctorũ Martyrũ id mihi impenderetur. Quocirca te obsecro, vt in iis Gregorij tui sis memor assiduè, in quibus me dignum memoria tua esse summoperè opto.

Γρηγόριος Γρηγορίῳ Νύσσης.

18. Καὶ τοῦτο [a] ἀπέκειτο τῇ μοχθηρᾷ μου ζωῇ, τὸ βασιλείου θάνατον ἀκοῦσαι, καὶ τῆς ἁγίας ψυχῆς
a ὑπόκειμαι. ἐκδημίαν, ἣν [b] ἐξεδήμησεν ἀφ' ἡμῶν, ἵν' ἐνδημήσῃ πρὸς κύριον, πάντα τὸν βίον, μελέτην τοῦτο πεποιημένος. ἀλλ' ἐγὼ μὲν τῶν ἄλλων καὶ τούτου
b ἐκδημέω

[c] ἀφή-

[c] ἀφῄρημαι, διὰ τὸ καὶ νῦν ἔτι πονήρως ἔχειν τοῦ σώματος καὶ λίαν ἐπικινδύνως, τὸ καὶ [d] περιπτύξασθαι τὴν ἁγίαν κόνιν, καί σοι [e] παρεῖναι τὰ εἰκότα φιλοσοφοῦντι, καὶ τοὺς κοινοὺς ἡμῶν φίλους [f] παραμυθήσασθαι. τὸ γὰρ τὴν τῆς ἐκκλησίας [g] ἰδεῖν ἐρημίαν τοιαύτην [h] ἀποκειραμένης δόξαν, καὶ τοιοῦτον [i] ἀποσεισαμένης στέφανον, οὔτε ὄψει θεατὸν, οὔτε ἀκοῇ χωρητὸν, τοῖς γε νοῦν ἔχουσι. σὺ δέ μοι δοκεῖς πολλῶν ὄντων καὶ φίλων καὶ λόγων τῶν εἰς παράκλησιν, ὑπ' οὐδενὸς ἂν οὕτω [k] παρακληθῆναι, ὡς ὑπὸ σεαυτοῦ καὶ τῆς ἐκείνου μνήμης. οἳ καὶ τοῖς ἄλλοις πᾶσι [l] γεγόνατε φιλοσοφίας ὑπόδειγμα, καὶ οἷόν τις στάθμη πνευματικὴ, τῆς τε ἐν τοῖς χρηστοῖς εὐταξίας, καὶ τῆς ἐν τοῖς ἀνιαροῖς καρτερίας. ἐπειδὴ δύο ταῦτα οἶδε φιλοσοφία, εὐταξίαν τε [m] διαθέσθαι μετρίως, καὶ συμφορὰν εὐσχημόνως. ταῦτα παρ' ἡμῶν πρὸς τὴν σὴν τιμιότητα. ἐμὲ δέ τις παραμυθήσεται χρόνος, ἢ λόγος τὸν ταῦτα γράφοντα, πλὴν τῆς σῆς συνουσίας καὶ ὁμιλίας, ἣν ἀντὶ πάντων ἡμῖν ὁ μακάριος καταλέλοιπεν, ἵνα ἐν σοὶ τὰ ἐκείνου καθορῶντες, ὥσπερ ἐν ἐσόπτρῳ καλῷ τινι καὶ διαυγεῖ, κἀκεῖνον ἔχειν νομίζωμεν.

c ἀφαιρέομαι.
d περιπτύσσομαι.
e πάρειμι.
f παραμυθέομαι.
g εἴδω.
h ἀποκείρομαι.
i ἀποσείομαι.
k παρακαλέομαι.
l γίνομαι.
m διατίθεμαι.

Gregorius Gregorio Nysseno.

HOc etiam ærumnosæ huic vitæ reliquum erat, vt Basilij mortem audirem, sanctæq́ illius animæ peregrinationem, qua à nobis peregrè profectus est, vt præsens sit apud Dominum, per totum vitæ cursum hoc vnum meditatus. Mihi autem præter alia, hoc quoque propter grauem ac periculosum corporis morbum, quo etiam num premor, ereptum est, vt & sanctum cinerem exosculer; tibiq́ ea, quæ consentanea sunt, philosophanti præsto sim, atque communibus amicis consolationem adhibeam. Nam alioqui Ecclesiæ solitudinem intueri, huiusmodi gloria detonsæ &; spoliatæ atque huiusmodi corona orbatæ, tam graue ac molestum est, vt nec oculis spectari, nec auribus concipi possit, his quidem certè qui mente præditi sunt. Tu verò quanquam & amici multi, & sermones ad consolationem non desint, à nullo tamen perinde mihi solatium capere posse videris, quã à te ipso illiusq́ recordatione, quippe qui aliis quoque omnibus philosophiæ exemplum fueris, ac velut amußis quædam spiritualis, tam moderationis in rebus secundis, quàm tolerantiæ in aduersis. Quandoquidem duo hæc nouit philosophia, nimirum & prosperitate modestè vti, & calamitatem honestè ferre. Atque hæc à nobis ad præstantiam

tiam tuam scripta sunt. At me, qui hæc scribo, quod tempus, aut quæ ratio consolabitur, præter tuam societatem & congreßionem, quam beatus ille vir pro omnibus rebus nobis reliquit, vt virtutes illius in te, quasi in pulchro & pellucido speculo intuentes, illum quoque habere existimemus.

Γρηγόριος Καισαρείῳ.

a Εὐεργέτησόν με καὶ σεαυτὸν καὶ ἡμᾶς, οἷον οὐ 19.
πολλάκις εὐεργετήσεις. μηδὲ πολλάκις παρα- a εὐεργε-
πίπτουσιν εὐεργεσίας τοιαύτης καιροί. τῶν κυρίων τέω.
μου τῶν ἀνεψιῶν μου [b] προέστηθι προστασίαν δικαι- b προΐστη-
οτάτην καμνόντων ἱκανῶς ἐπὶ κτήματι, ὅπερ μι.
[c] ὠνήσαντο μὲν, ὡς καὶ πρὸς ἀναχώρησιν ἐπι- c ὠνέομαι.
τήδειον, καί τινα τοῦ βίου παρέχειν αὐτοῖς ἀπο- d πράττω.
στροφὴν δυνάμενον· ἐπεὶ δὲ ὠνήσαντο, πλείο- Fut. σω.
σι περιπεπτώκασι δυσχερείαις, τὰ μὲν τῶν [d] πε- e πορθέο-
πρακότων ἀγνωμόνων πειρώμενοι, τὰ δὲ ὑπὸ μαι.
τῶν γειτονούντων περικοπτόμενοι, καὶ [e] πορθού- f κομίζο-
μενοι. ὥστε κέρδος εἶναι αὐτοῖς τὸ λῆμμα [f] κο- μαι.
μισαμένοις, μεθ' ὧν [g] προσαναλώκασιν ὄντων g προσα-
οὐκ ὀλίγων, [h] ἀπαλλαγῆναι τῆς κτήσεως. εἰ ναλίσκω.
μὲν οὖν σοι φίλον εἰς σεαυτὸν [i] περιστῆσαι τὴν πρα- h ἀπαλ-
γματείαν, ὅπως ἂν κάλλιστα καὶ ἀσφαλέστα- λάττομαι.
τα ἔχῃ σοι τὸ συνάλλαγμα [k] διασκεψαμένῳ, i περιΐστη-
μι.
k διασκέ-
πτομαι.

τοῦτο δὴ καὶ αὐτοῖς καὶ ἡμῖν ἥδιον. εἰ δὲ μὴ, τό γε δεύτερον, τῇ περιεργίᾳ καὶ ἀγνωμοσύνῃ τοῦ ἀνδρὸς [l] ἀντίθες σεαυτὸν, ἵνα μὴ πάντως ἐν γέ τι διὰ τὴν ἀπραγμοσύνην αὐτῶν ἔχῃ πλέον. ἢ κατέχοντας [m] ἀδικῶν, ἢ [n] ζημιῶν ἀπαλλαττομένους. Ἐγὼ μὲν οὖν καὶ [o] ἠρυθρίασα περὶ τούτων ἐπιστέλλων. ἐπειδή γε ὅμως αὐτοῖς ὀφειλόμεθα, καὶ διὰ τὸ γένος, καὶ διὰ τὴν τοῦ βίου προαίρεσιν. τίνος γὰρ ἄν τις [p] κήδοιτο μᾶλλον, ἢ τῶν τοιούτων; ἐπὶ τῷ δ' αὖ [q] αἰσχύνοιτο πλέον, ἢ τὰ τοιαῦτα εὐεργετεῖν οὐ προθυμούμενος. σὺ δὲ, ἢ διὰ σεαυτὸν, ἢ δι' ἡμᾶς, ἢ διὰ τοὺς ἄνδρας αὐτοὺς, ἢ διὰ πάντα ταῦτα ὁμοῦ, ἀλλὰ πάντως γε αὐτοὺς εὐεργέτησον.

l ἀντιτίθημι.
m ἀδικέω.
n ζημιόω.
o ἐρυθριάω
p κήδομαι.
q αἰσχύνομαι.

Gregorius Cæſario.

ET teipſum & nos, eiuſmodi quodam beneficio affice, quali haud ſæpè nos afficies: quandoquidem nec ſæpè huiuſmodi beneficij occaſiones incidunt. Dominorum meorum conſobrinorum æquiſſimum patrocinium ſuſcipe, qui plurimum laboris & ærumnæ pro eo prædio ſubeunt, quod, vt ad ſeceſſum aptum & idoneum, atque ex quo ſubſidium aliquod vitæ ipſis afferri poſſet, coëmerunt: poſteaquam

ſteaquam autem coëmerunt; in multas moleſtias & difficultates inciderunt, vt qui ſcilicet partim improbos venditores experiantur, partim à vicinis concidantur ac diripiantur: adeò vt lucro illis futurum ſit, recepto precio vnà cum iis ſumptibus, quos præterea fecerunt (qui quidem haud exigui ſunt) prædij poſſeſſione cedere. Sanè ſi tibi negociationem hanc ad te transferre cordi ſit, poſteà quàm, vt contractus belliſſimè ac firmiſſimè ſe habeat, diſpexeris, hoc vtique & ipſis & nobis gratius iucundiusq́; fuerit. Sin ſecus, hoc ſecundo loco abs te peto, vt hominis curioſitati atque improbitati teipſum opponas: vt ne ob eorum ocium, vitamq́; à negotiis remotam, alterutro nomine ſuperior ſit, nempe vt vel prædium retinentes lædat, vel diſcedentes detrimento afficiat. Equidem ipſe pudore ſuffuſus ſum, de his rebus ad te ſcribens. Tamen quoniam ipſis, tum ob generis propinquitatem, tum ob vitæ inſtitutum, opera noſtra debetur, (cuiuſnám enim potius, quàm eiuſmodi virorum, cura quiſpiam tangatur? aut qua re magis erubeſcat, quàm ſi huiuſmodi beneficia conferre minimè ſtudeat?) te rogo, vt vel tua ipſius, vel noſtra, vel ipſorum cauſa, vel etiam propter hæc omnia in vnum coacta, omnino quidem certè de omnibus bene merearis.

***

Γρηγόριος Οὐρβανῷ.

20. Οὐδὲν δεινὸν ποιοῦσιν οἱ δήμιοι (καὶ γὰρ [a] ὑπηρετοῦνται νόμοις) οὐδὲ τὸ ξίφος παράνομον, ᾧ τοὺς πονηροὺς κολάζομεν. ἀλλ' ὅμως οὐκ ἐπαινεῖται δήμιος, οὐδὲ ἀσμενίζεται φονικὸν ξίφος. οὕτως οὐδὲ ἡμεῖς ἀνεχόμεθα, γενέσθαι μισητοὶ, διὰ τῆς ἡμετέρας χειρὸς καὶ γλώσσης τῆς ἀποστασίου βεβαιουμένου. κρεῖττον γὰρ ἑνώσεως καὶ φιλίας, ἢ διαστάσεως καὶ βίου λύσεως μέσους γενέσθαι· τοῦτό μοι δοκεῖ καὶ ὁ θαυμασιώτατος ἄρχων [b] ἐνθυμηθεὶς, ἡμῖν [c] ἐπιτρέψαι τὴν πεῦσιν τῆς σῆς θυγατρὸς, ὡς οὐκ ἀποτόμως, οὐδὲ ἀπαθῶς [d] ἐλθεῖν δυναμένοις ἐπὶ τὴν λύσιν. Οὐ γὰρ ὡς λογιστὴν, ἀλλ' ὡς ἐπίσκοπον δηλαδὴ προεβάλλετο καὶ μέσον ἐποιήσατο τῆς καθ' ὑμᾶς περιπετείας. [e] παρακαλῶ οὖν [f] χαρίσασθαι ἡμῖν ὑπηρέταις τῆς ὑμετέρας βουλήσεως. καὶ χαίρω μὲν τὰ τοιαῦτα ἐπιταττόμενος. εἰ δὲ τὰ χείρω τε καὶ σκαιότερα, καὶ οἷς οὐδέπω καὶ τήμερον [g] ἐνεχειρήσαμεν, ἄλλον ἐπιζητεῖτε τὸν πρὸς ταῦτα ἐπιτηδειότερον. ἐμοὶ δὲ οὐ σχολὴ, ἵνα τῇ ὑμετέρᾳ φιλίᾳ χαρίσωμαι (καὶ εἰ τὰ πάντα [h] οἶδα ὑμᾶς ἐμαυτῷ τιμιωτάτους) Θεῷ προσκρούειν, ᾧ λόγον ὑπέχω παντὸς κινήματος καὶ διανοήματος.

a ὑπηρετέω.
b ἐνθυμέομαι.
c ἐπιτρέπω.
d ἔρχομαι.
e παρακαλέω.
f χαρίζομαι.
g ἐγχειρέω.
h εἴδω.

ματος. τῇ δὲ σῇ θυγατρὶ, τότε πιστεύσομεν. [i] εἰρήσεται γὰρ τἀληθὲς, ὅταν [k] δυνηθῇ τὸ αἰδεῖσθαι ὑμᾶς [l] φυγοῦσα [m] παῤῥησιάσασθαι τὴν ἀλήθειαν. ὡς νῦν γε καὶ τὸ πάθος ἐλεεινόν. μείζει γὰρ ὑμῖν μὲν, τὰ ῥήματα, τῷ δὲ ἀνδρὶ, τὸ δάκρυον.

i εἰρέω. k δύναμαι. l φεύγω. m παῤῥησιάζομαι.

Gregorius Veriano.

Nihil graue carnifices agunt (legibus enim inseruiunt:) nec iniquus est gladius, quo de improbis supplicium sumimus. Nec tamen laudatur carnifex, nec cruentus gladius lubenti animo tractatur. Eodem modo ne nos quidem odium nobis conflare sustinemus, dum per manum ac linguam nostram diuortium confirmatur. Præstat enim coniunctionis & amicitiæ, quam dißidij ac vitæ solutionis arbitrũ esse. Quod etiam mihi cumprimis admirandus Præses animaduertisse videtur, cum filiæ tuæ interrogandæ munus nobis commisit, vt qui ad matrimonij dissolutionem duro & rigido animo venire minimè possemus. Neque enim me, vt censorem, sed vt Episcopum proposuit, ac vestræ calamitatis arbitrum constituit. Quamobrem vos rogo, vt nobis, voluntatis vestræ ministris obsecundetis. Ac mihi quidem huiusmodi res imperari lætor. Sin autem deteriora & crudeliora, & quibus nondum ad hunc vsque diem manum adiecimus, nobis mandantur, alium ad hæc

aptiorem quàm ego sim, quærite. Mihi enim non vacat, vt amicitiæ vestræ morem geram (etiamsi aliòqui prorsus vos plurimi faciam) in Dei offensionem incurrere, cui omnis agitationis & cogitationis rationem reddendam habeo. Tuæ autem filiæ tum demùm fidem adhibebimus (dicam enim quod res est) cùm depulso eo pudore, qui ei à vobis incutitur, verum liberè proloqui potuerit. Nam nunc quidem miserandum quiddam perpetitur. Vobis enim verba, marito autem lachrymas tribuit.

Γρηγόριος Βοσπορίῳ Κολωνίας.

21. Ἐνόμιζον μὲν καὶ ὑπὲρ τῶν προτέρων [a] χρεω-
a χρεωστέομαι. σεῖσθαί μοι παρ' ὑμῶν ἀπολογίαν. οὕτως ἀρ-
χαῖός τις εἰμὶ καὶ μάταιος. ἐπειδὴ δὲ οὐκ [b] ἀνίε-
b ἀνίημι. τε ἐπιτιμῶντες ἡμῖν, ἀλλ' ἀεὶ τοῖς προτέροις ἐπα-
γωνίζεσθε, καὶ ταῖς ὕβρεσιν ὕβρεις προσεξευρί-
σκετε, οὐκ οἶδα δι' ἥν τινα τὴν αἰτίαν, εἴτε ἡμᾶς
c μισέω. [c] μισοῦντες, εἴτε ἄλλοις τὴν ἀτιμίαν ἡμῶν χαρι-
ζόμενοι· ταῦτα μὲν τῷ θεῷ καὶ εἰδέναι καὶ κρίνειν
d παρίημι. [d] παρήσομεν, ὃν λανθάνει τῶν ὄντων οὐδὲν, ὅ φη-
e κυνάω. σιν ἡ θεία γραφὴ, κἂν [e] κυνῶμεν τῆς ἀληθείας
τὸ πρόσωπον, δυσπρεπείας ἕνεκεν τῆς πρὸς τοὺς
πολλούς. εὐαγγελιζόμεθα δὲ τὴν ὑμετέραν εὐ-
f ἠτιάομαι λάβειαν, [f] ἠτιήμεθα, καὶ τῆς ἐκκλησίας, ἂν δι-
g κατοκνέω δῷ θεὸς τὰ δυνατὰ φροντίζειν, οὐ [g] κατοκνήσο-
μεν


μεν (ἐπειδὴ τοῦτο ἀγωνίζεσθε· καὶ μάλιστα τοῦ καιροῦ κατεπείγοντος διὰ τὴν προσδοκωμένην τῶν ἐναντίων ἐπιδρομὴν, ὡς αὐτὸς γράφεις) ἀλλὰ τὸ ταπεινὸν τοῦτο σῶμα [i] χρήσομεν μὲν τῷ Θεῷ, μέχρις ἂν [k] διαρκῇ καὶ [l] σθένωμεν, ἵνα μήτε ἡμεῖς βάρος ἔχωμεν, καταχρινόμενοι παρ' ἡμῶν, καὶ παρὰ παντὸς τοῦ κλήρου καταβοώμενοι, παντοίοις ὀδυρμοῖς ἐκθλίβοντος ἡμᾶς, καὶ τὴν ἐκκλησίαν ὁρῶντες ἀμελουμένην, καὶ τοὺς πολλοὺς πλήσσοντες, ὥσπερ ὑπερορῶντες τὰ τῆς ἐκκλησίας· μήτε ὑμεῖς μακρότερα κάμνητε ἀτιμοῦντες ὑμᾶς. καὶ τοῦτο πράξομεν ταῖς ὑμετέραις εὐχαῖς, εἰ αὐτὸς ὀκνεῖς τῆς ἐκκλησίας τὴν προστασίαν, ὡς αὐτός τε λέγεις, καὶ πείθει τὰ πράγματα. βέλτιον γὰρ ἐκείναις [m] ἐναποθανεῖν ταῖς φροντίσιν, ἢ ταύταις, ἐπειδὴ δεῖ πάντως ταλαιπωρεῖν, οὕτω [n] τυποῦντος τοῦ θεοῦ τὰ ἡμέτερα.

i χρέω.
k διαρκέω.
l σθένω.
m ἐναποθνήσκω.
n τυπόω.

Gregorius Bosporio Coloniæ Episcopo.

Arbitrabar mihi pro iis quoque, quæ præcesserunt, à vobis excusationem deberi. Ita antiquus quidam sum & stolidus. Quoniam autem obiurgandi me finem nō facitis, sed ad priora certamina quidpiam

piam semper adiicitis, ac contumelias contumeliis cumulatis, haud scio qua causa permoti, siue quod nos inuisos habeatis, siue vt per nostri contemptum ab aliis gratiam ineatis: hæc quidem Deo & noscenda & iudicanda reliquimus, quem nulla res fugit, vt ait scriptura, etiamsi veritatis laruam prætendamus, vt speciosior sit apud multitudinem prætextus: tuæ autem pietati hoc denuncio, nos manus dare & cedere, atq; Ecclesiæ curam, Deo dante, pro virili nostra sine cunctatione suscepturos esse (quandoquidem hoc contenditis, ac præsertim vrgente hac tempestate, propter imminentem, vt ipse scribis, aduersariorum incursionem) humileq; hoc corpus Deo commodaturos esse, quandiu durabit, viresq; nostræ ferent, vt nec nos oneremur, atq; obruamur, tum à vobis condemnati, tum Cleri totius clamoribus exagitati, communibus omnium gemitibus nos opprimentis, atque Ecclesiam neglectam cernentes, ac permultos etiam offendentes, tanquam Ecclesiæ negocia contemnamus. nec vos diutius in nostri contemptione laboretis. Atque hoc faciemus precibus vestris freti, si tu Ecclesiæ curam suscipere vereris, vt & ipse scribis, & res ipsæ fidem faciunt. Præstat enim illis curis immori, quam his, quandoquidem omnino nos affligi necesse est, Deo res nostras ita constituente.



Γενγό-

Γρηγόριος Καισαρίῳ τῷ ἰδίῳ ἀδελφῷ.

Οὐδὲ οἱ φόβοι τοῖς [a] εὐφρονοῦσιν ἄχρηστοι, ὡς 22. δὲ ἐγώ φημι, καὶ λίαν καλοὶ καὶ σωτήριοι. εἰ γὰρ καὶ γίνεσθαι αὐτοὺς ἀπευχόμεθα, γινομένοις γε παιδευόμεθα. κάμνουσα γὰρ ψυχὴ, ἐγγύς ἐστι θεοῦ, φησί που θαυμασιώτατα λέγων ὁ Πέτρος· καὶ παντὶ [b] διαφυγόντι κίνδυνον, πλείων οἰκείωσις πρὸς τὸν [c] περισώσαντα. μὴ οὖν ὅτι [d] μετεσχήκαμεν τοῦ κακοῦ δυσχεραίνωμεν, ἀλλ' ὅτι διαπεφεύγαμεν, [e] εὐχαριστήσωμεν· μηδὲ ἄλλοι [f] φανῶμεν τῷ θεῷ, παρὰ τὸν καιρὸν τῶν κινδύνων, καὶ ἄλλοι μετὰ τοὺς κινδύνους, ἀλλὰ [g] βουληθῶμεν, εἴτε [h] ἐκδημοῦντες, εἴτε ἰδιωτεύοντες, εἴτε τὰ κοινὰ πράττοντες (δεῖ γὰρ οὕτω λέγειν καὶ μὴ λείπειν) τῷ σώσαντι κατακολουθεῖν, καὶ γίνεσθαι τῆς ἐκείνου μοίρας, μικρὰ τῶν μικρῶν καὶ χαμαὶ ἐρχομένων [i] φροντίσαντες. καὶ [k] δῶμέν τι διήγημα τοῖς εἰς ὕστερον, μέγα μὲν, εἰς δόξαν ἡμῶν, μέγα δὲ, εἰς ὠφέλειαν ψυχῆς· τὸ δὲ αὐτὸ καὶ παίδευμα τοῖς πολλοῖς χρησιμώτατον, ὅτι κρείττων ἀσφαλείας κίνδυνος, καὶ συμφορὰ εὐημερίας αἱρετωτέρα. εἴ γε πρὸ μὲν τῶν φόβων ἦμεν τοῦ κόσμου, μετὰ δὲ τοὺς φόβους τοῦ θεοῦ

a εὐφρονέω.
b διαφεύγω.
c περισώζω.
d μετέχω.
e εὐχαριστέω.
f φαίνομαι.
g βούλομαι.
h ἐκδημέω.
i φροντίζω.
k δίδωμι.

γεγε-

γεγενήμεθα. ἴσως σοι φορτικοὶ δοκοῦμεν πολλάκις σοι περὶ τῶν αὐτῶν ἐπιστέλλοντες, καὶ οὐ παραίνεσιν ἀλλ' ἐπίδειξιν νομίζειν τοὺς λόγους. διὸ τούτων μὲν ἅλις. ἡμᾶς δὲ [l] ἴσθι [m] προθυμουμένους καὶ εὐχομένους, μάλιστα μὲν, γενέσθαι μέχρι σοῦ, [n] συνησομένους τῇ σωτηρίᾳ σου, καὶ περὶ τούτων τελεώτερον διαλεξομένους· εἰ δὲ οὐ, ἀλλ' ἐνταῦθά σε δεξομένους ὡς τάχιστα, συνεορτάσαι τὰ χαριστήρια.

l ἴσημι.
m προθυμέομαι.
n συνήδομαι.

Gregorius Cæsario Fratri.

NE ipsi quidem timores prudentibus viris incommodi sunt, quin potius mea quidem sententia valde commodi & salutares. Nam etsi, ne existant, optamus, iis tamen, cùm existunt, erudimur. Ægra enim anima vicina est Deo, vt eximiè alicubi loquitur Petrus: atque omnis qui periculum effugit, arctius ei adiungitur, à quo salutem est consecutus. Proinde non quia mali participes extitimus, indignemur: sed quia effugimus, grati animi officio fungamur, nec alios nos Deo inter pericula, & alios post pericula exhibeamus: verùm siue peregrè agentes, siue priuatam vitam ducentes, siue publica negocia gerentes (sic enim loquendum est, nec prætermittendum) eum sequamur, à quo salutem accepimus, atque ad illius partes nosmet adiungamus, parua &

ua & humi repentia parum curantes. Atque hiſtoriam quandam poſteris demus, tum ad gloriam noſtram, tum ad animæ vtilitatem amplam & præclaram, quæ etiam ipſa vtiliſſimo documento plerisque ſit, nimirum periculum ſecuritate, & calamitatem rebus ſecundis potiorem eſſe, magisque expetendam: ſi quidem ante timores mundo addicti eramus, poſt timores autem Deo nos addiximus. Fortaſſe graues tibi ac moleſti eſſe videmur, qui de his rebus ſæpius ad te ſcribamus, ac ſermones noſtros non admonitionem ſed oſtentationem eſſe exiſtimas. Quare de his rebus verborum ſatis. Nos verò ſcias velim, prompto animo eſſe atque exoptare, potiſſimum quidem tecum eſſe, vt tibi de ſalute tua gratulemur, ac de his rebus perfectius diſſeramus: ſin minus, ac certè vt te hîc primo quoque tempore reducem videamus, atque vna tecum in grati animi ſignificationem feſtum diem agitemus?

Γρηγόριος Ὀλυμπίῳ.

Παιδεύεταί τι καὶ πολιά, καὶ οὐ πάντη τὸ γῆ- 23.
ρας, ὡς [a] ἔοικεν, εἰς σύνεσιν ἀξιόπιστον. ἐγὼ a εἴκω.
γ' οὖν πάντων μὲν μάλιστα τῶν ἀπολιναριστῶν
[b] εἰδὼς τὴν ἐνθύμησιν, καὶ ἀσέβειαν, ὁρῶν b εἴδω.
δὲ οὐκ ἀνεκτὴν τὴν ἀπόνοιαν, ἐνόμιζον τῇ

μακρο-

bat. Ac vetera quidem huiusmodi erant. Tuque etiam his plura per teipsum adiicies, funebribus illum honoribus prosequens, & quod natura omnibus insitum est, mortuo quippiam amplius elargiẽs. Ac nunc, (ac vide vt siccis oculis hunc sermonem transmittas, aut honestè certè & commodè collachrymes) hic quidẽ exanimis iacet, ab amicis inops, desertus, miserabilis, exigua myrrha donatus (si tamen hac quoque) ac paucis & vilibus integumentis: magniq; etiam æstimandũ; quod hæc quoq; hominum miseratione consecutus sit. Impetum autem hostes fecerunt, vt audio, atq; eius facultates alij aliunde liberrimè & insolentissimè, partim dirripiunt, partim iamiam direpturi sunt (ingentem crudelitatem & immanitatem) nec quisquam est qui prohibeat, sed humanissimus quisque hoc solùm præstat, quod legum fidem implorat & obtestatur. Atque vt vno verbo dicam fabula facti sumus, qui felices quondam habebamur. Hæc tibi ne leuia & tolerabilia videantur obsecro: verùm & vicem nostram dole, & simul indignare, beneficioqúe Cæsarium è viuis sublatum affice. Eia te per amicitiam ipsam obtestor: eia per ea, quæ charissima habes, per spes animo conceptas, quas tibi faustas effice, fidum te & syncerum amicum Mortuo præbens: vt iis etiam qui vita fruuntur hoc largiaris, ac spem meliorem afferas. An tu pecuniarum nomine nos angi putas? Intolerabilior nobis ignominia fuerit, si solus

ex omnibus mortalibus Cæsarius amicis caruisse videatur, qui permultos etiam sibi esse existimabat. Ac deprecatio talis est, atq; à talibus profecta, quandoquidem tu nos quoq; fortasse non contemnendo loco habes. Quod autem auxilium, quaq; ratione ferendum sit, tum res ipsæ admonebunt, tum prudentia tua dispiciet.

Γρηγόριος Ἀδελφίῳ.

11. Ἔτι σε καλῶ τίμιον, καίπερ οὐ τίμια βουλευόμε-
a δέχομαι. νον. καί μου [a] δέξαι τὴν παῤῥησίαν σπλά-
b κινέομαι γχνοις πατρικοῖς [b] κινουμένου, καὶ καρτερεῖν οὐ δυ-
ναμένου διὰ τὴν εὔνοιαν. πολλῷ γὰρ βέλτιον
c λυπέω. βραχέα [c] λυπήσαντα, μέγιστα [d] ὠφελῆσαι, ἢ
d ὠφελέω. τὸ πρὸς ἡδονὴν διώκοντα [e] ζημιῶσαι τῷ κε-
e ζημιόω. φαλαίῳ. Ἱερεὺς ἦν ὁ Ἡλεὶ, καὶ τοῖς παισὶν ἀσε-
f ἐπιπλήτ- βοῦσιν [f] ἐπέπληττε μὲν (οὐκ ἀγαθὴ ἡ ἀκοὴ, λέ-
τω. γων, ὦ τέκνα, ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν) ὅτι
g ἐγκαλέο- δὲ μὴ σφοδρῶς ἐπέπληττε,, σφοδρῶς [g] ἐνε-
μαι. κλήθη, καὶ δίκην [h] ὑπέσχε πατὴρ εὐσεβὴς παί-
h ὑπέχω. δων παρανομίας. τοῦτο φοβούμενος τὸ ὑπό-
δειγμα καὶ αὐτὸς, ἐπὶ ταύτην [i] ἦλθον τὴν παραί-
i ἔρχομαι. νεσιν. τί ἐστιν, ὃ [k] πέπονθας, ἀγνοῶ· τίς ἡ το-
k πάσχω. σαύτη περὶ σὲ σκοτομήνη; πῶς αἰσχύνεις μὲν
σεαυτοῦ τὸ γένος; αἰσχύνεις δὲ τὴν ἡμετέραν

πολιάν,

πολιὰν, καὶ τὰς ἐλπίδας, ἃς εἴχομεν ἐπί σοι, ἡνίκα [l] ἐπέστημεν Ναυίλοις; πᾶν ἀγαθὸν καὶ [m] διαλεχθέντες, καὶ [n] πείσαντες, ὡς [o] ᾠόμεθα; πῶς οὐκ ἀκούεις λεγούσης τῆς γραφῆς, μὴ δὸς γυναιξὶ τὸν σὸν πλοῦτον, καὶ τὰ σὰ χρήματα εἰς ὑστεροβουλίαν. εὖ ἴσθι [p] μεταμελήσει σοι τούτων μικρὸν ὕστερον, ἡνίκα ἂν [q] κατατρίβωσι σάρκες σώματός σου κατὰ τὸ γεγραμμένον, καὶ δυνηθῇ [r] διασχὼν; ὥσπερ ἐκ νέφους, ὁ νοῦς, πρὸς θεὸν ἰδεῖν καὶ λογίσασθαι καθαρῶς τὰ συμφέροντα. [s] Φύλαξαι τὴν παγίδα, μὴ [t] ἀγρευθῇς σοῖς ὀφθαλμοῖς, καὶ εἰ ἠγρεύθης, [u] ἔκνηψον, μὴ καὶ τὸ θρυλλούμενον διαβεβαιώσῃς, ὅτι φαρμάκοις τὸν νοῦν [x] ἐκλάπης, ἐπειδὴ δεινὸν εἰς κακῶν ἐπίνοιαν ἡ ἀσέλγεια. ἀλγεινὸν μὲν γὰρ τὸ καὶ οἶκον τοσοῦτον, καὶ τοσούτοις πόνοις [y] συνειλεγμένον, οὕτως ἐν βραχεῖ διασπεῖραι καὶ καταλῦσαι, καὶ μάλιστα ἐν ἀρχαῖς βίου, ἡνίκα, ἢ τὴν καλὴν, ἢ τὴν πονηρὰν δόξαν ἕκαστος ἑαυτῷ καταβάλλεται. πολλῷ δὲ δεινότερον τὸ καὶ γυναῖκας παρθένους, ἃς καὶ οἱ σοὶ γονεῖς, καὶ αὐτὸς, ὡς ἡμᾶς ἔπειθες, [z] καθιέρωσας τῷ θεῷ, ταύτας ἱεροσυλεῖν καὶ ἁρπάζειν, καὶ τὰς μὲν ἔχειν ἤδη, τὰς δὲ ποθεῖν ὡς τὰ αὐτὰ [aa] πεισομένας. τὸν οὖν θεὸν φοβηθεὶς, ᾧ λατρεύεις, καὶ ἡμᾶς αἰδεσθεὶς, [bb] ἐπίσχες

l ἐφίστημι.
m διαλέγομαι.
n πείθω.
o οἴομαι.
p μεταμέλει.
q καταλείβομαι.
r διέχω.
s φυλάττομαι.
t ἀγρεύομαι.
u ἐκνήφω.
x κλέπτομαι.
y συλλέγομαι.
z καθιερόω.
aa πάσχω.
bb ἐπέχω.

σεαυτὸν τοῦ λοιποῦ πάσης πονηρᾶς προαιρέσεως. εἰ γὰρ οἷόν τε ἦν παρακύψαντά σε [cc] γνῶναι τὴν δόξαν, ἣν πάντων ἡμῶν [dd] κατέχεας, τάχα ἂν οὐκ ἐδεήθης ἄλλης παραινέσεως, ἀλλ' αὐτὴν τὴν αἰσχύνην σύμβολον ἐποιήσω τῶν σῶν πρακτέων. τούτων ἥδιω μὲν εἶχον γράφειν, λυσιτελέστερα δὲ οὐδαμῶς. καὶ τὰ πλείω [ee] παρήσω γράφειν, ἐκεῖνο εἰδὼς, ὡς εἰ μή σε ὁ τοῦ θεοῦ φόβος παιδαγωγήσειε, μικρὸν, ἢ οὐδὲν οἱ λόγοι δυνήσονται. ἐπεὶ καὶ σιδήρῳ κηρὸς μὲν, εὐκόλως χαράσσεται· σίδηρος δὲ, ἐργωδέστερον· ἀδάμας δὲ, οὐδὲ τῷ στερροτάτῳ διὰ σκληρότητα φύσεως.

cc γινώσκω.
dd κατεχέω.
ee παρίημι.

Gregorius Adelphio.

Honorandum te adhuc voco, etiamsi ea quæ honore minimè digna sunt, consilia ineas. Ac velim hanc meam loquendi libertatem in bonam partem accipias, hoc est, eius qui paternis visceribus incitetur, nec propter beneuolentiam patientia vti possit. Multò enim melius est, breui atque exiguo mærore illato maximam vtilitatem afferre; quàm dum ea quæ grata & iucunda sunt, sequimur, in eo, quod summum ac præcipuum est, detrimentum tibi conflare. Sacerdos erat Heli. Atque filios quidem impia crimina patrantes obiurgabat, (non enim bona fama est, inquiebat, ô filij, quam de vobis audio:) quoniam autem haud acriter ac vehementer obiurgabat, vehementer

hementer ipse accusatus est, scelerisq́; filiorum pius pater pœnas luit. Hoc exemplum ipse quoque reformidans, ad hanc admonitionem veni. Quid tibi acciderit, ignoro. Quæ hæc tanta caligo te circumfundit? Quonam pacto genus tuum dedecoras? dedecoras etiam caniciem nostram, spesq́; eas, quas de te conceptas habebamus, cùm Nauilos perrexissemus, atque omne boni genus & disseruissimus, & vt quidem nobis videbatur, persuasissemus? Quin tu Scripturam audis dicentem: Ne des mulieri diuitias tuas, & opes tuas in serum consilium? Huius rei, mihi crede, aliquantò post te pœnitebit, cùm obtritæ corporis tui partes fuerint, vt scripturæ verbis vtar, ac mens velut diffissa & penetrata nube, Deum prospicere, atque ea, quæ commoda & frugifera sunt, purè ac liquidò considerare poterit. Sagenam obserua, ne oculis tuis capiaris: Et, si captùs es, expergiscere, ac meliorem mentem indue, ne illud etiam, quod rumore celebratur, confirmes: nempe quod veneficiis quibusdã mens tua surrepta sit. Siquidem ad comminiscenda mala mirè solers est lasciuia. Atque acerbum quidem est, tantam domum, ac laboribus collectam, breui adeò temporis spatio dissipare & euertere, ac præsertim vitæ initiis, cùm vel bonæ vel malæ famæ & existimationis sibi quisq́; fundamenta iacit: at longè grauius & acerbius virgines & fœminas, quas, & tui parentes, & tu etiam, vt nobis fidem fecisti, Dei cultui

cultui consecrasti, sacrilega manu rapere, atque alias quidem iam habere, aliis autem, tanquam idem perpessuris, terrorem iniicere. Quamobrem & Dei, quem colis, metu, & nostri reuerentia permotus ab omni improbo & flagitioso animi instituto deinceps te reprime. Nam si fieri posset, vt velut per transennam spectans, opinionem eam, qua nos omnes perfudisti, cognitam haberes, fortasse ne alia quidem admonitione opus habuisses, verùm ipsam quoque infamiam in rerum gerendarum consilium adhibuisses. His iucundiora quidem habebam, quæ scriberem, vtiliora autem haudquaquam. Ac multò etiam plura scribere prætermittam, quòd illud sciam, nisi Dei metus te domet, ac coerceat, paruam aut nullam omnino vim sermones habituros esse. quandoquidem ferro quoque cera facilè imprimitur, ferrum autem difficilius, adamas verò ne firmissima quidem re, propter naturæ duritiam.

Γρηγόριος Καισαρίῳ τῷ ἰδίῳ ἀδελφῷ.

12. Ἱκανῶς [a] ἠρυθριάσαμεν ἐπὶ σοί. τὸ γὰρ ὅτι ἐ-
a ἐρυθριάω λυπήθημεν, τί χρὴ γράφειν, τῷ γε πάντων μά-
λιστα πεπεισμένῳ; ἵνα γὰρ μὴ τὰ ἡμέτερα λέγω-
b ἐμπλήθω. μεν, μηδὲ ὅσης ἀθυμίας [b] ἐνέπλησε ἡμᾶς ἡ πε-
ρὶ σὲ φήμη, (δέος δὲ εἰπεῖν) καὶ δέους, ἐβου-
λόμην,

λόγων, εἴπως οἷόν τι ἦν, παρεῖναί σε τοῖς τῶν ἄλλων λόγοις, οἰκείων τε ὁμοίως καὶ ξένων, καὶ τῶν ὁπωσοῦν γνωρίμων ἡμῖν, ἀλλ' οὖν χριστιανῶν, οὓς περὶ σοῦ τε καὶ ἡμῶν λέγουσι. οὐχ οἱ μὲν, οἱ δὲ οὔ, ἀλλὰ πάντες ἑξῆς ὁμοίως· ἐπειδὴ καὶ προθυμότερον ἐν τοῖς ἀλλοτρίοις φιλοσοφοῦσιν ἄνθρωποι. ὥσπερ ἄλλη τις μελέτη γέγονεν αὐτοῖς, ταῦτα τὰ ῥήματα. νῦν μὲν γὰρ ἐπισκόπου στρατεύεσθαι· νῦν δὲ ὀρέγεσθαι τῆς ἔξωθεν δυναστείας καὶ δόξης· νῦν δὲ ἡττᾶσθαι χρημάτων (ὅτι τε χρημάτων κοινὸν [c] ἀνῆπται πῦρ, καὶ τὸν περὶ ψυχῆς δρόμον τρέχουσιν ἄνθρωποι) ἀλλ' οὐχὶ μίαν ἡγεῖσθαι καὶ δόξαν, καὶ ἀσφάλειαν, καὶ εὐπορίαν, τὸ γενναίως ἵστασθαι πρὸς τὸν καιρόν· καὶ ὅτι πορρωτάτω ποιεῖν ἑαυτὸν, παντὸς ἄγους τε καὶ μιάσματος. πῶς δ' ἂν ἄλλον [d] νομοθετήσειεν οἱ ἐπίσκοποι, μὴ [e] παρασυρῆναι τῷ καιρῷ, μηδὲ τοῖς εἰδώλοις [f] συναναφύρεσθαι; πῶς δ' ἂν τοῖς ἄλλο τι πλημμελοῦσιν ἐπιτιμήσειεν, αὐτὸς ἀφ' ἑστίας τὴν παῤῥησίαν οὐκ ἔχων; ταῦτα καθ' ἑκάστην ἀκούοντας ἡμᾶς τὴν ἡμέραν, καὶ ἔτι πλείω τούτων καὶ χαλεπώτερα, τῶν μὲν, καὶ διὰ φιλίαν λεγόντων ἴσως, τῶν δὲ, καὶ διὰ δυσμένειαν ἐπιτιθεμένων, πῶς οἴει διακεῖσθαι, καὶ τίνας ἔχειν ψυχὰς ἀνθρώπους τῷ θεῷ προστεθειμένους δουλεύειν,

c ἀνάπτομαι.

d νομοθετέω.

e παρασύρομαι.

f συναναφύρομαι.

λεύειν, καὶ πρὸς τὰς μελλούσας ὁρᾶν ἐλπίδας, μόνον ἀγαθὸν κρίνοντας. τὸν μὲν οὖν κύριον τὸν πατέρα ἡμῶν πάνυ δυσφοροῦντα τὰ πρὸς τὴν ἀκοὴν, καὶ πρὸς τὸν βίον αὐτὸν ἀπαγορεύοντα, ὅπως οὖν αὐτὸς παραμυθοῦμαι καὶ ψυχαγωγῶ, τὴν σὴν ἐγγυώμενος γνώμην, καὶ πείθων ὅτι οὐχ ὑπομενεῖς ἔτι πλεῖον λυπεῖν ἡμᾶς. τὴν δὲ κυρίαν τὴν μητέρα, εἰ g πύθοιτό τι τῶν κατὰ σὲ, (μέχρι γὰρ οὖν νῦν τέως ἀπεκρυψάμεθα πολλαῖς ἐπινοίαις) οἶμαι καὶ παντελῶς ἀπαραμύθητον ἕξειν τὸ πάθος, ὡς γυναῖκά τε οὖσαν μικρόψυχον, καὶ ἄλλως διὰ τὸ λίαν εὐλαβὲς μετριάζειν περὶ τὰ τοιαῦτα οὐ δυναμένην. εἰ μὲν οὖν ἵνα καὶ σεαυτοῦ καὶ ἡμῶν ποιῇ λόγον, βούλευσαί τι βέλτιον καὶ ἀσφαλέστερον. πάντως γὰρ καὶ τὰ ἐνταῦθα, πρὸς ἐλευθέριον διαγωγὴν αὐτάρκη, τῷ γε λίαν μὴ ἀπλήστῳ, μηδὲ ἀμέτρῳ περὶ τὴν ἐπιθυμίαν τοῦ πλείονος. ἀλλὰ καὶ τοῦ καταστάσεώς σε τυχεῖν, οὐχ ὁρῶ τινα καιρὸν h ἀναμενοῦμεν τὸν νῦν ἐάσαντες. εἰ δὲ τῆς αὐτῆς ἔχῃ γνώμης, καὶ μικρὰ πάντα σοι πρὸς τὴν ἰδίαν ὁρμὴν, ἄλλο μὲν οὐδὲν εἰπεῖν βούλομαι δυσχερές. τοσοῦτον δὲ προλέγω καὶ διαμαρτύρομαι, ὅτι δυοῖν ἀνάγκη θάτερον, ἢ γνήσιον μένοντα χριστιανὸν τὴν ἀτιμοτάτων αὐτοῦ i τετάχθαι, καὶ πράττειν

g πυνθάνομαι.

h ἀναμένω

i τάττομαι

πράττειν ἀναξίως καὶ σεαυτοῦ καὶ τῶν ἐλπίδων. ἢ τῆς τιμῆς [k] ἐφιέμενον, περὶ τὰ καιριώτερα βλάπτεσθαι, τοῦ καπνοῦ γε μετέχοντα, εἰ καὶ μὴ τοῦ πυρός.

k ἐφίεμαι.

Gregorius Cæſario Fratri.

MAgnoperè tua cauſa erubuimus. nam quod mærore affecti fuerimus, quid ſcribere attinet, ad eum præſertim cui id omnium mortalium maximè perſuaſum eſt. Etenim (vt de nobis nihil dicamus, nec quanta mæſtitia, addam etiam timore, nos fama ea quæ de te peruagatur, impleuerit) vellem, ſi fieri poſſet, ſermonibus iis, quos alij de te tam familiares & neceſſarij, quam externi quoquo modo nobis cogniti, dum tamen Chriſtiani, & quidem omnes vno ore ferunt, intereſſes, quandoquidem etiam homines promptius cupidiuſqúe in alienis rebus philoſophari ſolent. Inſtar alius cuiuſpiam declamationis hæc verba ipſis fuerunt: Nunc Epiſcopi filium militare, nunc externam potentiam, & gloriam appetere, nunc pecuniis, atq; opibus deditum eſſe (quando pecuniarum communis ignis accenſus eſt, atque in ſalutis animæqúe periculo verſantur homines,) ac non potiùs vnam hanc gloriam & ſecuritatem, & opes exiſtimare, nimirum fortiter & ſtrenuè aduerſus tempus ſtare? & quàm longiſſimè ſe

ab omni

ab omni scelere & piaculo remouere. Quonam autem modo Episcopi alium admonere queant, ne committat vt à tempore distrahatur, atq; cum idolis misceatur & contaminetur? Quonam modò eos, qui aliud quiddam delinquant, obiurgare possunt, ipsi [a] à Larę fiduciam non habentes? Hæc nos huiúsq; plura & grauiora quotidie audientes, partim ab iis qui amico fortasse ac beneuolo animo loquuntur, partim ab iis, qui ob inimicitias nobis imminent, quo tandem modo affici, & quem animum habere putas, nos, inquam, qui Deo seruire proposuimus, nec vllum aliud bonum esse iudicamus, quam futuræ vitæ spes ob oculos positas habere? Ac dominum quidem patrem nostrum, sermones hos perquam ægrè atq; indignè ferentem, ipsiusq; etiam vitæ tædio laborantem, quoquo modo solor ac recreor de tua voluntate omniq; sententia illi spondens, atq; confirmans te nequaquã diutius nobis molestum fore. Dominam autem matrem si quidquam de tuis rebus rescissat (nam ad hunc vsque diem multis artibus eam celauimus) ita velim existimes, eam tantùm dolorem habituram, vt nullo omnino solatio mitigari possit, vtpotè imbecillis animi fœminam, & alioqui ob pietatis magnitudinem, modum in huiusmodi rebus tenere nequeuntem. Quamobrem si quam & tui, & nostri rationem habes, melius tutiusq; tibi consule. Nam procul dubio facultates nostræ ad vitam ingenuè honesteq; degendam sufficiunt, homini vtiq; non nimis inexplebili,

[a] Vide prouerbium, A Lare incipere.

inexplebili, nec immodica plus habendi cupiditate flagranti. Quinetiam ad conſtituendas vitæ tuæ rationes haud video, quodnam tempus expectabimus: Si hoc nobis effluere ſinamus. Quod ſi in eadem perſtas ſententia, præq́ tua cupiditate omnia parua exiſtimas, aliud quidem acerbi nihil proloqui libet: hoc tantùm prædico & denuncio, è duobus alterum neceſſe eſſe, vt Chriſtianus manens vel germanus contemptiſſimæ ipſius claſſi aſſcribaris, indigneq́ viuas & te ipſo, & ſpe quam concepiſti: vel honores expetens, in rebus maioris momenti detrimentum capias, fumiq́ ſaltem, ſi non ignis, fias particeps.

Γρηγόριος Εὐστοχίῳ Σοφιστῇ.

Ὦ ὀδυσσεῦ, μάλα πῶς με [a] καθίκεο, στασι- 13.
ασμὸν ὀνειδίζων, καὶ κατασοφιστεύων ἡ- a καθικνέο-
μῶν ἐπιμελέστατα. καί σου τὴν παῤῥησίαν ἐ- μαι.
παινῶ, ἐφ' οἷς ἔγραφες ἃ γράφεις. κρεῖσσον γὰρ ἐκλαλεῖν τὸ λυποῦν, ἢ ἠρεμεῖν ὡς ἐρεῖν ἀγνοοῦντας. ἔχω τι καὶ ἐγκαλεῖν ὅμως. ἵνα δὲ νόμον φυλάξω δικαστικὸν, ἀπολογήσομαι πρότερον, εἶτα κατηγορήσω· καὶ ἀμφότερα μετὰ τῆς ἴσης εὐνοίας. τῷ καλῷ στασιείῳ [b] προσῆλθεν b προσέρ-
Νικόβουλος ὁ ἐμός. οὔ τι καθ' ἡμέτερόν γε νέον. χομαι.

c ὑπολαμβάνω. μὴ τοῦθ᾽ ὑπολάβῃς. οὐχ οὕτως ἢ τῶν Ἀθηνῶν ἐπιλήσμων ἐγὼ, ἢ τῆς σῆς φιλίας καὶ ἑταιρείας. ἀλλ᾽ ὥρμησε μὲν παρ᾽ ἑαυτοῦ, καὶ τοῦ πατρὸς οὕτω θελήσαντος, παρ᾽ ἐμοῦ δὲ, διὰ τῶν γραμμάτων [d] ἐνεχειρίσθη. τί τοῦτο ἄφιλον ἢ ἀπάνθρωπον; ἐπεὶ δὲ τὴν ἀπολογίαν ἔχεις, δέξαι καὶ τὴν κατηγορίαν. οὐκ ἐπαινῶ σου τοὺς κεροπλάθους, καὶ τοὺς τελχῖνας οἷς βάλλεις κακῶς τὸν ἀντίτεχνον. ἐπειδὴ νενίκηκε τοὺς ὁμοτέχνους ἀντιτέχνους καλεῖν. μέχρι τίνος γὰρ ταῦτα; καὶ ποῦ στησόμεθα τῆς σοφιστικῆς ἐπηρείας; ἕως ἂν τι γένηται; ἕως ἂν θάνατος ἡμᾶς διακόψῃ τῆς πονηρίας; ταῦτα γὰρ νέον μὲν ὄντα, φιλοτιμίας ἡττώμενον, κέρδους μεταποιούμενον, καὶ τὸ, τι μετρίως ποιεῖν, ἔχει τινὰ συγγνώμην. μικρὸν γάρ τι δημοσθενίσω σὴν χάριν. ἐν τούτῳ δὲ τῆς ἡλικίας, καὶ οὕτω πράττοντα, κηρύττειν τε καὶ κηρύττεσθαι, παντελῶς ἄωρον καὶ φιλόνεικον. οὐ μόνον ὅτι ἀπρεπὲς καὶ παντάπασιν ἀνελεύθερον, ἀλλ᾽ ὅτι καὶ ῥᾳστώνη πολλὴ τοῦ πράγματος. [e] ὁπποῖόν κ᾽ εἴπῃσθα ἔπος, τοῖόν κ᾽ ἐπακούσαις, καθάπερ ῥεύματος ἀντιστρέφοντος. πάλιν γὰρ ὁμήρῳ συγχρήσομαι. τὸν ξύοντα δὲ ἀντιξύειν παντελῶς ἀνεπίφθονον. τίς οὖν ἡ σοφία, ἐξὸν ἀρετῇ πρωτεύειν, ἡττᾶσθαι κακίᾳ, ἢ καὶ

d ἐγχειρίζομαι.

e ex Homero Iliad.10.

ἢ καὶ νικᾶν, ὃ πολλῷ χεῖρόν ἐστιν· ἀλλ' ἐγώ γε καὶ τῶν δικαστῶν τούτων μέμφομαι, (εἰρήσεται γὰρ τἀληθές.) ὅτι ἃ κολάζουσι κρίνοντες, ταῦτα ἐπαινοῦσιν ἀκροώμενοι. οὐ μόνον δὲ, ἀλλὰ καὶ πολλοὺς ἔχουσι τοὺς συνεπαινέτας, καὶ τὴν κακίαν ἀνάπτοντας, καὶ ταῖς σπουδαῖς ἄχρι τούτου μεμερισμένους. δέον, εἰ μὲν [f] ἀπιστεῖται, μὴ ἐπαινεῖσθαι. εἰ δὲ πιστεύεται, δημοσίᾳ κρίνεσθαι. ἢ οὕτω. εἰ μὲν ψευδῆ, τοὺς κατηγόρους ἐλέγχεσθαι· εἰ δὲ ἀληθῆ, τοὺς καθ' ὧν ὁ λόγος, καὶ μὴ οὕτω μέγιστον πρᾶγμα τὴν τῶν εὖ γεγονότων ὑπόληψιν, οὕτω ῥαδίως παίζεσθαι. εἴ τι οὖν ἐμοὶ πείθεσθε (πρὸς γὰρ ἀμφοτέρους ὁ λόγος) τοὺς μὲν τοιούτους λόγους καὶ ψόγους, χαίρειν [g] ἐάσατε· εἰ μή τι ἄλλο, τὴν πολιὰν αἰδούμενοι, ἢ καὶ [h] ἀποκαμόντες ἐν τοῖς αἰσχίστοις. αὐτοὶ δὲ βουλεύσασθε, τὴν παλαιὰν τιμῆσαι παραίνεσιν, τὴν, ὅταν ὁ βίος ἱκανὸς ᾖ, ἀρετὴν ἀσκεῖσθαι κελεύουσαν. καὶ οὐκ ἐπιβουλεύσετε μὲν ὑμῖν αὐτοῖς, ἐπιβουλεύσετε δὲ ταῖς τῶν νέων ἐλπίσιν, οἳ πάντως ἂν τὰ δεινότατα [i] πάθοιεν, εἰ λόγους ἀσκούμενοι κακίαν [k] μάθοιεν, καὶ ταύτην οὐκ ἄμισθον, ὥσπερ οὐκ ἀρετῆς, ἀλλὰ ταύτης ἔχοντες ἡμᾶς διδασκάλους. εἰ δέ σοι φορτικὸς εἶναι δοκῶ

f ἀπιστέομαι.
g ἐάω.
h ἀποκάμνω.
i πάσχω.
k μανθάνω.

1 ἀμύνομαι ταῦτα γράφων, [1] ἄμειψαί μοι τοῖς ἴσοις, καὶ αὐτὸς παραινέσας τι τῶν χρησίμων, ἵν' ἢ πειθόμενον ἐπαινῇς, ἢ ἐγκαλῇς ἀντιτείνοντι.

Gregorius Eustochio Sophistæ.

O Vlysses, scite sane me perstrinxisti, stagirismum exprobrans, sophisticoq́; artificio studiosissimè me versans & exagitans. Atque istam animi libertatem laudo, quod ea scribis, quæ scribis. Præstat enim id, quod animum malè habet, efferre atque expromere, quam quiescere, perinde atque id ignoremus. Ipse quoque aliquid habeo quod te accusem. Verum vt fori ac iudiciorum legem seruem, prius tibi ad ea quæ obiicis, respondebo, postea autem accusabo, atque vtrumque pari cum beneuolentia faciam. Ad Stagirium bellum hominem, Nicobulus meus accessit, haudquaquam de nostra sententia, ne hoc existimes, (non enim ita vel Athenarum, vel amicitiæ tuæ & sodalitatis, immemor sum) verum suomet ipse consilio, & de patris voluntate ad eum se contulit, à me autem illi per literas traditus est, & commendatus. Quid hîc ab amicitia aut humanitate alienum feci? Quoniam autem purgationem nostram habes, accusationem quoque accipe. Coroplathos illos tuos

&

& Telchinas minimè laudo, quibus artis æmulum inſectaris. Quandoquidem vſus obtinuit, vt eiuſdem artis profeſſores ἀντίτεχνοι, id eſt, artis æmuli atque aduerſarij vocentur. Quouſque enim iſta? Nunquamné ſophiſticæ huic obtrectationi & maledicentiæ finem ſtatuemus? An expectabimus, dum mors ab hac improbitate nos abrumpat? Iuueni enim fortaſſe honoris cupiditate flagranti, opibusq́; inhianti, qui hæc, modò parcè faciat, nonnihil veniæ dari poſsit. Libet enim in gratiam tuam Demoſthenis verbis aliquantum vti. Hominem autem id ætatis, atque hoc rerum ſtatu, publicè alium infamare ac viciſsim infamari, intempeſtiuum, prorſus & pertinacis contentionis plenum: non ſolùm quia hoc animo inhoneſtum & ſordidum eſt, ſed etiam, quia mira eſt huius rei facilitas, perinde ac fluctus reciprocantis. Etenim vt cum Homero rurſus loquar,

Dictum tale feres, quale antè intorſeris ipſe.

Radentem porrò viciſsim radere, nequaquam reprehendendum eſt. Quæ igitur hæc ſapientia eſt, cum virtute vincere liceat, vitio ſuperari, aut etiam ſuperare, quod multo peius eſt? At hoc quoque nomine, vt verè loquar, iudices accuſandos eſſe cenſeo, quod quæ pro tribunali damnant, eadem cum audiunt, laudant. Nec id ſolùm: ſed multos etiam habent, qui ſimul laudent, ac vitium accendant, atq;

hucusq; in partes & studia dissecti sint. Atqui conuenit, vt si hæc falsa existimentur, non laudentur: si autē vera esse creduntur, publicè iudicentur: aut etiam hanc rationem adhibere, vt si falsa obiiciuntur, accusatores coarguantur: sin vera, ij aduersus quos oratio habetur: non autem permittere, vt nobilium virorum existimatio, res maximi ponderis, tam facilè ludibrio habeatur. Quare si meo consilio paretis (vtrumq; enim alloquor) huiusmodi sermones, & vituperationes valere sinite, si nihil aliud, caniciei certè reuerentia, aut etiam rerum turpissimarum lassitudine: ipsi verò in animum inducite veteri prouerbio obsequi, quod virtutis cultum amplecti iubet, cum satis ad victum amplæ facultates sunt. Nec cum vobis ipsis, tum iuuenum spei insidias comparate, qui profectò grauissima afficientur iniuria, si literarum studia colentes, vitium addiscant, & quidem non sine mercede: perinde ac vos, non virtutis, sed vitij magistros habeant. Quod si tibi molestus esse videor, hæc scribens, iisdem rebus me vlciscere vtile quoque aliquod consilium mihi offerens: vt vel obtemperantem præceptis tuis laudes, vel repugnantem accuses.



Γρηγό-

Γρηγόριος Εὐδοξίῳ Ῥήτορι.

Νόμος ἦν Ἀθήνῃσι παλαιὸς, ὡς δ' ἐγώ φη- 14.
μι, καὶ κάλλιστα ἔχων, ἐπειδὰν [a] φθάσωμεν εἰς a φθάνω.
ἥβην οἱ νέοι, πρὸς τέχνας ἄγεσθαι· ἄγεσθαι δὲ τὸν
τρόπον τοῦτον. προτίθεσθαι δημοσίᾳ ἑκάστης τέχ-
νης ὄργανα, καὶ προσάγεσθαι τούτοις τοὺς νέους. οὕ-
τω δὲ τύχῃ χαίρων ἕκαστος, καὶ προστρέχων,
τοῦτο καὶ τὴν τέχνην διδάσκεσθαι. ὡς τοῦ μὲν κατὰ
φύσιν ἐπιτυγχάνοντος, ὡς τὰ πολλά· τοῦ δὲ πα-
ρὰ φύσιν διαμαρτάνοντος. τί βούλεταί μοι τὸ
διήγημα; καὶ σέ φημι χρῆναι, πρὸς φιλοσο-
φίαν γὰρ ἔχεις ἐπιτηδείως, ταύτης μὴ ἀμελεῖν·
μηδὲ πρὸς ἄλλο τι μᾶλλον ἐθίζεσθαι τῶν οὐκ
οἰκείων, ἢ ταύτης περιέχεσθαι πρὸς ἣν [b] νένευκας, b νεύω.
οὐχ ὅτι ἀρίστη μόνον ἐστὶν, ἀλλ' ὅτι καὶ προσφυε-
στέρα. τὸ δὲ μὴ βιάζεσθαι ῥοῦν ποταμοῦ, καὶ ἡ πα-
ροιμία παιδεύει. καὶ ἱπποσύνην [c] δεδαῶτα c δαίω.
μὴ ἄδειν ἐθέλει ἡ ποίησις. μὴ τί γένηται; μὴ καὶ
τῆς ἱπποσύνης [d] διαμάρτῃς, καὶ τῆς ᾠδῆς. d διαμαρ-
ἀλλὰ τίς ἐπιτηδειότης; ὡς γοῦν ἐμοὶ καταφαίνῃ τάνω.
[e] θεωρήσαντι, πρῶτον μὲν ὁ τρόπος ἐστὶ καὶ τὸ τοῦ e θεωρέω.
ἤθους γαληνόν τε καὶ ἄτυφον, καὶ πρὸς τὰς τοῦ
βίου στροφὰς ταύτας, ἀνεπιτήδειον. ἔπειτα τὸ τῆς
ψυχῆς εὐφυὲς καὶ ὑψίνουν, καὶ πρὸς θεωρίαν

εὐκίνητον. τρίτον ἡ νοσοκομία, καὶ τὸ τοῦ σώματος
ἀσθενές, ἐπειδὴ καὶ τοῦτο οὐ μικρὸν εἰς φιλοσο-
φίαν εἶναι δοκεῖ τῷ Πλάτωνι. καὶ μὴν καὶ ἡ-
λικίας οὕτως ἔχεις, ὡς ἤδη τὰ πάθη κλίνε-
σθαι· καὶ τῇ πενίᾳ οὐ κόπτεσθαί μοι δοκεῖς
μᾶλλον ἢ καλλωπίζεσθαι. τό, τι αἰσχύνεσθαι
f εἴδω. [f] εἰδέναι, οὐ κατὰ ῥήτορας. ἀλλ' οὐδὲ φωνὴ μια-
ρά σοι, οὐδὲ γέγονας κακῶς, οὐδὲ ἀγοραῖος
εἶ, οὐδέ τι τῶν τοιούτων ἔχεις, ἵν' εἴπω συντόμως,
οἷς πλάττει τὸν ἀγοραῖον Δημόκριτον εἰς δη-
μαγωγίαν Ἀριστοφάνης. ἀλλὰ ῥήτωρ καλούμε-
νος, πάντα πρότερον ἢ κατὰ τὸ ἦθος πλεῖς εἰς
g προΐη- ῥήτορας. μὴ τοίνυν θελήσῃς [g] προέσθαι τῆς φι-
μαι. λοσοφίας ὅσον [h] προείληφας, μηδὲ τὰ δεύτε-
h προλαμ- ρα ἔχῃς ἐν τοῖς δευτέροις μᾶλλον, ἢ τὰ πρῶτα ἐν
βάνω. τοῖς μεγίστοις. εἰ δὲ καὶ τὰ πρῶτα τῶν ἐνταῦ-
i ἀνέχομαι θα δοίημεν, μὴ [i] ἀνάσχῃ ἀριστεύειν ἐν κολοιοῖς,
k φυσάω. ἀετὸς εἶναι δυνάμενος. μέχρι τίνος [k] φυσώ-
l αἴρομαι. μεθα τοῖς μικροῖς καὶ χαμαὶ ἐρχομένοις, καὶ
m μετα- παίζομεν ἐν μειρακίσκοις, καὶ πλάσμασι, καὶ
βαίνω. ὑπὸ τῶν κρότων [l] αἰρόμεθα; [m] μεταβῶμεν ἐντεῦ-
n ῥίπτω. θεν, ἄνδρες γενώμεθα, [n] ῥίψωμεν τὰ ὀνείρατα,
o παρα- [o] παραδράμωμεν τὰς σκιάς, ἄλλοις [p] παρῶμεν
τρέχω. τὰ τερπνὰ τοῦ βίου, καὶ πλέον ὀδυνηρά· ἄλλους
p παρίημι πραγματευέτω καὶ [q] μεταειπλείτω καὶ παιζέτω
q μεταει-
πλέω.

Φθόνος,

φθόνος, καὶ χρόνος καὶ τύχη. ὁ δέ φασι τῶν ἀνθρωπίνων τὸ ἄστατον καὶ ἀνώμαλον. [r] ἐῤῥέτωσαν θρόνοι, δυναστεῖαι, πλοῦτοι, λαμπρότητες, ἐπάρματα, πτώματα, τὸ εὔπλες τοῦτο δοξάριον καὶ ἀπόπλυστον (ὃ μᾶλλον [s] ἀδοξήσειέ τις αἱρόμενος, ἢ γελώμενος) τὰ τῆς μεγάλης ταύτης σκηνῆς παίγνιά τε καὶ θεατρίσματα. ἡμεῖς τοῦ λόγου [t] περιδραξώμεθα, καὶ θεὸν ἀντὶ πάντων ἔχειν [u] ἑλώμεθα τὸ μόνον διαρκὲς ἀγαθὸν, καὶ ἡμέτερον, ἵν' ἡμῖν καὶ τὸ ἐνταῦθα εὐδοκιμεῖν γένηται τοῖς ἔτι μικροῖς, καὶ τοῦτο ζητοῦσιν, ἢ τὸ ἐκεῖθεν πάντως. ἐπειδὴ τῆς ἀρετῆς ἆθλον θεὸν γενέσθαι, καὶ τῷ καθαρωτάτῳ φωτὶ καταστράπτεσθαι, τῷ ἐν τῇ τρισσῇ μονάδι θεωρουμένῳ, ἧς νῦν μετρίως ἔχομεν τὰς αὐγάς. πρὸς ταῦτα [x] ἴθι, πρόβαινε, [y] πτεροῦ τῇ διανοίᾳ, [z] λαβοῦ τῆς αἰωνίου ζωῆς, μηδαμοῦ [aa] στῇς τῶν ἐλπίδων, ἕως [bb] ἔλθῃς ἐπὶ τὸ ἄκρον ἐφετὸν καὶ μακάριον. καὶ ἡμᾶς ἐπαινέσεις, εὖ οἶδα, νῦν μὲν ὀλίγα, μικρῷ δὲ ὕστερον, ἀφθονώτερα, ἐπειδὰν ἴδῃς σεαυτὸν, ἐν οἷς ὑπισχνούμεθα, καὶ μὴ κενὴν μακαρίαν ταῦτα εὑρίσκῃς, μηδὲ διανοίας ἀναπλασμοὺς, ἀλλὰ πραγμάτων ἀλήθειαν.

r ἔῤῥω.
s ἀδοξέω.
t περιδράττομαι.
u αἱρέομαι
x εἶμι.
y πτερόομαι.
z λαμβάνομαι.
aa ἵστημι.
bb ἔρχομαι

Gregorius Eudoxio Rhetori.

Hortatur ad Christianam Religionem siue Philosophiam suscipiendam.

Athenis vetus lex erat, eaq; meo quidem iudicio, praclarissimè constituta, vt adolescentes, cùm pubertatis annos attigissent, ad artes ducerentur, ducerentur autem ad hunc modum. Cuiuslibet artis instrumenta publicè proponebantur, atq; adolescentes ad ea addúcebantur. Quocunq; autem delectari quemque contigisset, ad idque accurreret, huius quoque artem edocebatur: Quod videlicet ea vt plurimum recta succedant, quæ natura duce aggredimur: ac contrà ea quæ inuita natura suscipiuntur, spem frustrari soleant. Quorsum autem spectat hæc narratio? Nimirum hoc aio, tibi prouidendum esse, ne philosophiam, ad quam natura optimè comparatus es, negligas, aut cuiquam alij arti, quæ tibi non satis apta sit, potius assuescas, quam hanc complectaris ad quam natura propendes: non modò quia præstantissima est, sed etiam quia ad naturam tuam accommodatior. Porrò non esse vi cohibendum fluminis cursum, parœmia quoq; ipsa docet, ac poësis etiã ei, qui equitandi artem didicerit, cantandi studio interdicit. Alioqui fore, vt nec equitationem, nec musi-

musicam assequatur. Quæ autem est hæc naturæ aptitudo? Vt quidem ipse te spectando animaduerti, primùm vitæ & morum tranquillitas, atque simplicitas, animusq; ad hās vitæ fraudes & imposturas parum appositus & idoneus. Tum quia præstanti es animi indole, menteque alta & erecta, atque ad contemplationem leui & expedita. Huc accedit aduersa valetudo, & corporis infirmitas. nam hoc quoque non leue ad philosophiam pondus habere, Platoni visum est. Quin ea etiam es ætate, vt iam animi perturbationes inflectantur. Nec verò paupertate tam frangi mihi videris, quàm gloriari. Iam quod erubescere scis, in eo non rhetorum morem refers. Sed neque scelesta tibi lingua est, nec malè factus es, nec circumforaneus es, nec denique, vt rem paucis complectar, quicquàm eorum habes, quibus Aristophanes forensem illum Democritum ad popularem gubernationem fingit, atque instruit. Verùm cùm Rhetor voceris, quiduis tamen potiùs quàm quo ad mores attinet, inter Rhetores censeris. Quocirca noli id philosophiæ, quod iam accepisti, proiicere, nec secundas potius in secundis rebus, quam primas in maximis habere. Atque, vt etiam primas eloquentiæ tibi demus, ne sustineas inter graculos excellere, cùm aquila esse possis. Quousque ob res paruas humique reptantes inflabimur, atque inter adolescentulos & fabulas ludemus, & à plausibus in altum

tum attollemur? Migremus hinc, viri efficiamur, somnia proiiciamus, vmbras prætereamus, aliis vitæ oblectamenta, plusque doloris quam voluptatis habentia, relinquamus. Alios occupatos teneant, iactent, ludificentur, inuidia & tempus, & fortuna: sic enim rerum humanarum inconstantiam appellant. Valeant throni, principatus, opes, splendores, elationes, casus, vilis hæc & despicabilis gloriola (ex qua plus dedecoris quispiam capiat, si animo efferatur, quam si irrideatur) ac denique magnæ huius scenæ ludicra, nugaque theatricæ. Nos a *Verbum arctissime complectamur, ac pro omnibus rebus Deum habere optemus, solùm inquam, perenne illud bonum & nostrum. Ita fiet vt hîc quoque splendorem assequamur, (quamdiu nimirum paruo adhuc animo sumus, idque appetimus) aut certè in futuro æuo. Quandoquidem virtutis præmium est, Deum fieri ac purissimo illo lumine irradiari, quod in triplici vnitate consideratur, cuius nunc radiis leuiter tantùm perstringimur. Ad hæc contende, progredere, animo volita, vitam æternam arripe. Nusquam spes tuas siste, quousque ad illud summè expetendum & beatum bonum perueneris. Ac nos, mihi crede, laudabis, nũc quidem parciùs, paulò post autem vberius & copiosiùs, nempè cum in eo rerum statu, quem tibi pollicemur, teipsum conspexeris, ac non inanem felicitatem, nec mentis figmenta, sed rerum veritatem hæc esse inueneris.*

a Christũ filium Dei intelligit.

Γρηγό-

Γρηγόριος Θέκλῃ.

Ἀλγεῖς, [a] ὑπολειφθέντων ἡμῶν, ὡς εἰκός· 15.
ἡμεῖς δὲ πλέον ἐπὶ τῷ χωρισμῷ τῆς σῆς a ὑπολεί-
εὐλαβείας. πλὴν εὐχαριστοῦμεν τῷ Θεῷ μέχρι πομαι.
σοῦ [b] φθάσαντες, καὶ οὐκ [c] ἐμεμψάμεθα τῷ κόπῳ. b φθάνω.
ἴδομεν γὰρ σοῦ τὸ στερέωμα τῆς εἰς Χριστὸν πίστεως, c μέμφο-
τὴν ἐπαινετὴν ἐρημίαν, καὶ τὸν φιλόσοφον ἰδια- μαι.
σμόν. ὅτι πάντων [d] χωρισθεῖσα τῶν τοῦ κόσμου τερ- d χωρίζο-
πνῶν, θεῷ μόνῳ [e] συνέκλεισας ἑαυτὴν, καὶ τοῖς ἁγίοις μαι.
μάρτυσιν οἷς παροικεῖς, καὶ [f] προσήγαγες τῷ Θεῷ, καὶ e συγκλείω
προσάγεις μετὰ τῶν ἀγαπητῶν σου τέκνων θυσίαν f προσάγω.
ζῶσαν εὐάρεστον. ταῦτα οὖν ἔστω σοι καὶ παραμυ-
θία τῶν λυπηρῶν. ἐπεὶ καὶ Δαβὶδ ὁ μέγας ἐγ-
κρύπτει τοῖς ἐκεῖθεν ἀγαθοῖς, εἰς ἃ πέμπει τοὺς
λογισμοὺς, τὰ ἐντεῦθεν ὀδυνηρὰ, ὅταν λέγῃ. ὅτι
ἔκρυψέ με ἐν σκηνῇ αὐτοῦ ἐν ἡμέρᾳ κακῶν. καὶ οὐκ
ἀποτίθεται μόνον τὸ ἀλγεινὸν, ὅταν [g] μνησθῇ τοῦ g μνάομαι.
Θεοῦ, ἀλλὰ καὶ εὐφραίνεται. ἀλγοῦσι καὶ οἱ τῷ
κόσμῳ [h] προσεστηκότες, καὶ πολὺ πλείονα τῶν h προσίστα-
θεῷ δουλευόντων. ἀλλ᾽ ἄμισθον αὐτοῖς τὸ ἀλγεῖν, μαι.
ὑμῖν δὲ τὸ πάσχειν ἔμμισθον, ὅταν διὰ Θεὸν καρ-
περῶμεν. φέρε γὰρ [i] ἀντισταθμήσωμεν τὰ λυπη- i ἀντισταθ-
ρὰ τοῖς ἡδέσι, καὶ τὰ παρόντα τοῖς μέλλουσι, καὶ οὐ- μίω.
δὲ πολλοστὸν μέρος εὑρήσομεν ταῦτα ἐκείνων. το-
σοῦτον ὑπερβάλλει τὰ χρηστότερα. καλὸν οὖν

φάρ-

φάρμακον ἡμῖν, ὅταν ὀδυνώμεθα, τότε μεμνῆσθαι θεοῦ καὶ τῶν ἐκεῖθεν ἐλπίδων, καὶ τὸ τοῦ Δαβὶδ πάσχειν, ἐν θλίψει πλατύνεσθαι. ἀλλὰ μὴ στενοχωρεῖσθαι τοῖς λογισμοῖς, μηδὲ ὥσπερ νέφει τῇ λύπῃ καλύπτεσθαι, ἀλλὰ τότε μάλιστα τῆς ἐλπίδος ἔχεσθαι, καὶ πρὸς τὴν ἐκεῖθεν βλέπειν μακαριότητα τὴν ἀποκειμένην τοῖς ὑπομένουσι. μάλιστα δ' ἂν οὕτω πεισθείημεν ἐγκαρτερεῖν τοῖς δεινοῖς, καὶ ὑπὲρ τοὺς πολλοὺς εἶναι, ὅταν ἀλγῶμεν, εἰ [k] ἐνθυμηθείημεν τί [l] ἐπηγγειλάμεθα τῷ θεῷ, καὶ τί ἠλπίσαμεν ὅτι φιλοσοφίᾳ προσεβαίνομεν; πλουτεῖν; εὐθυμεῖν; εὐημερεῖν κατὰ τὸν βίον τοῦτον, ἢ ἐκ τῶν ἐναντίων, θλίβεσθαι; κακοπαθεῖν; στενοχωρεῖσθαι; πάντα στέγειν; πάντα ὑπομένειν διὰ τὴν τῶν μελλόντων ἐλπίδα; ταῦτα, οἶδα, οὐκ ἐκεῖνα [m] προσεδοκήσαμεν. φοβοῦμαι οὖν μὴ καὶ τὰς συνθήκας τὰς πρὸς θεὸν ψευδώμεθα, ὅταν καὶ ταῦτα ζητῶμεν ἔχειν, κἀκεῖνα ἐλπίζωμεν. μὴ καταλύσωμεν τὴν πραγματείαν, ἀλλ' [n] ἐνέγκωμεν ταῦτα ὑπὲρ τοῦ [o] τυχεῖν ἐκείνων. ἔθλιψαν ἡμᾶς οἱ μισήσαντες; ἀλλ' ἡμεῖς ἄδουλωτον τοῖς πάθεσι τὴν ψυχὴν φυλάξωμεν. οὕτω τῶν λυπούντων [p] κρατήσομεν. κἀκεῖνο σκόπει διὰ τίνα θλιβόμεθα. οὐ διὰ τοὺς [q] μεταστάντας, τί δ' ἂν πιοῦντες ἐκείνοις χαριζοίμεθα; οὐ καρτεροῦντες;

k ἐνθυμέομαι.
l ἐπαγγέλλομαι.
m προσδοκάω.
n φέρω.
o τυγχάνω.
p κρατέω.
q μεθίστημι.

ρῶντες; τοῦτο οὖν αὐτοῖς χαρισώμεθα. καὶ γὰρ πείθομαι τὰς τῶν ἁγίων ψυχὰς τῶν ἡμετέρων αἰσθάνεσθαι. ἐπὶ πᾶσι, καὶ πρὸ πάντων ἐκεῖνο λογιζώμεθα, ὅτι τῶν ἀτόπων ἐστὶν, ἔξω μὲν τῆς ἀνάγκης φιλοσοφεῖν, ἐν δὲ τοῖς πάθεσιν ἀφιλοσόφους φαίνεσθαι, ἀλλὰ μὴ τοῖς πολλοῖς τύπον γίνεσθαι, ὥσπερ τῆς ἐν τοῖς εὐθύμοις εὐχαριστίας, οὕτω καὶ τῆς ἐν τοῖς δεινοῖς καρτερίας. ταῦτα γράφω, οὐχ ὡς ἀγνοοῦσαν διδάσκων, ἀλλ' ὡς ἐπισταμένην ἀναμιμνήσκων. ὁ δὲ θεὸς τῆς παρακλήσεως, σέ τε ἄτρωτον φυλάξειε τοῖς πάθεσι. καὶ ἡμῖν γε χαρίσαι, τὸ πάλιν ἰδεῖν σου τὴν εὐλάβειαν, καὶ διὰ τῶν ἔργων [r] πεισθῆναι ὅτι ὁ κόπος ἡμῶν οὐκ εἰς κενὸν ἐγένετο. ἀλλ' ἐσμέν τι παρὰ σοὶ πλέον τῶν ἄλλων, ὡς τῆς θλίψεως [s] ἐκοινωνήσαμεν, οὕτω καὶ τῆς φιλοσοφίας κοινωνὸν [t] λαβόντες· ὃ τάχα τῇ πολιᾷ ἡμῶν ταύτῃ, καὶ τοῖς κατὰ θεὸν καμάτοις ὀφείλεται.

r πείθομαι
s κοινωνέω
t λαμβάνω

Gregorius Theclæ.

Doles, vt verisimile est, nobis relictis: nos autem magis, quod à tua pietate disiuncti sumus. Deo tamen gratias agimus quod vsq; ad te peruenerimus, neq; nos suscepti laboris pœnituit. Siquidem tua in Christum fidei firmitatē, & laude dignā solitudinē, ac philosophicum secessum perspeximus; nempe quia ab om-

ab omnibus mundi voluptatibus separata cum solo Deo, ac sanctis Martyrib⁹, apud quos habitas, teipsam conclusisti, ac Deo vna cum charissimis filiis tuis hostiam viuentem, gratamq; & acceptam obtulisti atq; etiamnum offers. Hæc igitur tuis quoq; molestiis solatio sint. Quandoquidem & magnus ille Dauid in futuris illis bonis, ad quæ cogitatiões suas mittit, huius vitæ acerbitates occultat, cum ait: Quoniam abscondit me in tabernaculo suo, in die malorũ. Nec verò dolores duntaxat & molestias deponit, cum Deus ipsi in animo ac memoria versatur; sed etiam voluptate afficitur. Dolent etiam qui mundo prorsus addicti sunt, ac multò quidem amplius quam qui Deo seruiunt. At dolor ipsis mercede caret: contrà dolori nostro merces sua constat, cùm Dei causa tolerantiam adhibemus. Age enim molestias cum voluptatibus & præsentia cum futuris perpendamus: ac ne minimam quidem horum partẽ illa esse reperiemus. Vsque adeò læta exuperant. Commodum erga pharmacum nobis fuerit, cùm in dolore sumus, tum Deũ ac futuræ vitæ spes in animum reuocare, atq; eodem modo quo Dauid, affici, hoc est, in tribulatione dilatari, non autem cogitationum angustiis premi, nec mœrore tanquam nube obduci, verùm tum maxime spei inhærere, atq; ad cœlestem beatitudinem, quæ iis, qui res aduersas patienti animo ferunt, recondita est, oculorum aciem intẽdere. Hac autem potissimum ratione adducemur, vt rerum acerbitates æquo animo perse-

perferamus, atq; cùm in dolore verſamur, ſupra vulgus aſſurgamus, ſi quid Deo promiſerimus, & quid, cùm ad philoſophiam accederemus, ſpe nobis finxerimus, cogitemus. Vtrum opibus abundare, læto & hilari animo eſſe, atq; in hac vita florere, an contrà vexari, affligi, premi, & propter rerum futurarum ſpem omnia perferre ac ſuſtinere? Hæc nimirum, non autē illa expectauimus. Quocirca vereor, ne pacta quoque cum Deo inita violemus, cùm & hæc habere ſtudemus, & illa ſperamus. Ne, *quæſo, negotiationem deleamus, verùm hæc, vt illis potiamur, feramus. Afflixerunt nos ij, qui nos inuiſos habuerunt: at nos animum perturbationum ſeruitute liberum & immunem conſeruemus. Ita fiet vt eos qui nobis moleſtiam exhibent, ſuperemus. Quin illud quoq; cōſidera, quaſnam ob res diuexemur. An non propter eos qui ex hac vita migrarunt? Quidnam autem facientes, gratiam ab iis inituri ſumus? An non illatas iniurias tolerantes? Hoc igitur in eorum gratiam faciamus. Siquidem illud perſuaſus ſum, Sanctorum animas res noſtras ſentire. Præter omnia & ante omnia, illud nobiſcum reputemus, abſurdum & præpoſterum eſſe, cùm nulla neceſſitas vrget, philoſophari; in calamitatibus autem philoſophiæ expertem apparere, non autem multitudini exemplum fieri, vt gratiarum actionis in rebus lætis & iucundis, ita etiam tolerantiæ in grauibus atque acerbis. Hæc porrò ſcribo non vt ignorantem doceam: ſed vt ſcientem ſubmoneam.*

V

moneam. Deus autem consolationis, tum te à calamitatibus illæsam custodiat, tum nobis illud concedat, vt pietatem tuam rursum videamus, resque ipsæ nobis fidem faciant, laborem nostrum haudquaquam inanem & irritum fuisse, verùm nos maiorem, quàm alios auctoritatem apud te obtinere, atque vt nos in calamitatis societatem tecum venimus, ita vicißim te philosophiæ atque patientiæ sociam accepisse; quod quidem fortasse, huic nostræ caniciei, ac Dei causa susceptis laboribus debetur.

Γρηγόριος Φιλαγρίῳ.

16. Εὖγε ὅτι φιλοσοφεῖς ἐν τοῖς πάθεσι, καὶ γίνῃ πολλοῖς ὑπόδειγμα, τῆς ἐν τοῖς ἀλγηνοῖς καρτερίας. καὶ ὥσπερ ἐπὶ παντὶ βελτίστῳ [a] καταχρῶ τῷ σώματι, ἡνίκα ὑγιεινῶς εἶχες, οὕτω καὶ νῦν τούτῳ [b] χρῇ καλῶς, ἐπειδή γε ἀσθενῶς ἔχεις, καὶ ἀργεῖς οὐκ ἀργῶς, ἵν' οὕτως εἴπω. φιλοσοφεῖς γὰρ καὶ ὅ φασι Διογένην [c] εἰρηκέναι ποτὲ πυρέττοντα, καὶ διακαρτεροῦντα, τοῦτο καὶ αὐτὸς παρέχεις ὁρᾶν, ψυχῆς πάλην καὶ σώματος. τοῦτο ἔπρεπε τῷ ἐμῷ Φιλαγρίῳ, μὴ μαλακίζεσθαι, μηδὲ κάμπτεσθαι πρὸς τὰ πάθη, ἀλλὰ περιφρονεῖν τὸν πηλόν· καὶ τὸ μὲν σῶμα ἐὰν πάσχειν

a καταχρά ομαι.
b Doricũ, pro χρᾷ.
c ἐρεῖν.

ἔχειν τὰ ἑαυτοῦ, πάντως ἢ νῦν ἢ ὕστερον [d] λυθησό- d λύομαι.
μενον νόμῳ φύσεως. [e](οἰχήσεται γὰρ ἢ νόσῳ κά- e οἴχομαι.
μνον, ἢ χρόνῳ) αὐτὸν δὲ, ὑψοῦ τὴν ψυχὴν ἔχειν,
καὶ μετὰ θεοῦ [f] τετάχθαι τοῖς λογισμοῖς, κἀκεῖνο f τάττομαι
[g] εἰδέναι, ὅτι τῶν ἀτόπων ἐστὶν, ἡμᾶς ἔξω μὲν κινδύ- g εἴδω.
νων φιλοσοφεῖν, ἐν δὲ ταῖς χρείαις ἀφιλοσόφους
φαίνεσθαι, καὶ διαψεύδεσθαι τὴν ὑπόσχεσιν.
πάντα [h] ἐπῆλθες δηλαδὴ τῇ διανοίᾳ ὅσα ἡμέτερα, h ἐπέρχο-
ὅσα ἀλλότρια, ὡς ἀνὴρ πεπαιδευμένος ἐν ἀμφο- μαι.
τέροις, καὶ παιδευτὴς ἄλλων· καὶ ἐκ πάντων σεαυτῷ
[i] συνελέξω τὸ τῆς ἀνθρωπίας φάρμακον. ἵνα δὲ i συλλέγο-
σοι κἀγὼ συμφιλοσοφήσω μικρὸν, εἰ τοῦτο κελεύ- μαι.
εις, οὐκ ἐπαινῶ τοῦ ἀριστοτέλους τὸ μικρολόγον, ὃς
τὴν εὐδαιμονίαν ἡμῖν ὁριζόμενος, μέχρι μέν τι-
νος [k] περιῆλθεν ὀρθῶς, ψυχῆς ἐνέργειαν κατ' ἀ- k περιέρχο-
ρετὴν εἶναι ταύτην [l] ἀποφηνάμενος, καὶ [m] προσθεὶς, μαι.
ἐν βίῳ τελείῳ· καὶ τοῦτο μάλα σοφῶς, διὰ τὸ τρι- l ἀποφαί-
πλὸν ἡμῶν καὶ εὐμετάπτωτον τῆς φύσεως. ἐκεῖ- νομαι.
νο δὲ οὐκ ἔτι μεγαλοπρεπῶς, ἀλλὰ καὶ λίαν ταπει- m προσί-
νῶς, ὅτι καὶ τὴν ἔξωθεν εὐετηρίαν προσίθησιν· θημι.
ὡς εἰ [n] τύχοι πένης τις ὢν, ἢ νοσώδης, ἢ δυσγενὴς, n τυγχά-
ἢ φυγόπατρις, παρὰ τοῦτο αὐτῷ τῆς εὐδαιμο- νω.
νίας κωλυομένης. ἐπαινῶ δὲ τῶν ἀπὸ τῆς στο-
ᾶς, τὸ νεανικόν τε καὶ μεγαλόνουν, οἳ μηδὲν
κωλύειν φασὶ πρὸς εὐδαιμονίαν τὰ ἔξωθεν,

ἀλλ' εἶναι τὸν σπουδαῖον μακάριον, κἂν ὁ Φαλά-
ριδος ταῦρος ἔχῃ καιόμενον. καὶ διὰ τοῦτο θαυ-
μάζω μὲν, τοὺς παρ' ἡμῖν ὑπὲρ τοῦ καλοῦ κινδυ-
o διαφέρω. νεύσαντας, ἢ συμφορὰν [o] διενεγκόντας νεανικῶς·
θαυμάζω δὲ καὶ τῶν ἔξωθεν τοὺς τούτοις παρα-
πλησίους. οἷον τὸν ἀνάξαρχον ἐκεῖνον, τὸν ἐπί-
κτητον, τὸν σωκράτην, ἵνα μὴ λέγω πολλούς. ὧν ὁ
μὲν ἐν ὅλμῳ κοπτομένων αὐτοῦ τῶν χειρῶν, οὕτω
τοῦ τυράννου κελεύοντος, πτίσσειν τὸν ἀναξάρχου
θύλακον, διεκελεύετο τοῖς βασανισταῖς. τί τοῦτο
λέγων; τὸ μοχθηρὸν ἡμῶν σαρκίον, ὡς ἀναξάρ-
χου γε οὐ πτισσομένου, τῆς φιλοσόφου ψυχῆς, ἅ-
περ ἡμῖν ὁ ἐκτὸς, καὶ ὁ ἐντὸς ἄνθρωπος ὀνομά-
p στρεβλόομαι. ζεται. ὁ δὲ τὸ σκέλος κατατεινόμενος, καὶ [p] στρε-
βλούμενος, ἐφιλοσόφει ὥσπερ ἐν ἀλλοτρίῳ τῷ
q κατάγνυμι. σώματι· καὶ θᾶττον [q] κατεαγῆναι τὸ σκέλος, ἢ
ἐπαισθάνεσθαι τῆς βίας ἔδοξε. σωκράτης δὲ τὸν
r κατακρίνομαι. θάνατον ὑπὸ ἀθηναίων [r] κατακριθεὶς, καὶ οἰ-
s κῶν, ὡς οἶσθα, τὸ δεσμωτήριον, τέως μὲν, ὡς ὑ-
t φεύγω. πὲρ ἄλλου δεσμωτηρίου τοῦ σώματος τοῖς μαθη-
u ἀπαξιόω ταῖς διελέγετο. καὶ [t] φυγεῖν ἐξὸν, [u] ἀπηξίωσεν.
x προσφέρομαι. ἐπειδὴ δὲ [x] προσηνέχθη τὸ κώνειον, δέχεται μά-
λα ἡδέως, ὥσπερ οὐκ ἐπὶ θανάτῳ δεχόμενος,
y προστίθημι. ἀλλὰ φιλοτησίας προπινόμενος. [y] προσέθηκα
z οἶδα. δὲ ἂν τούτοις καὶ ἰὼβ τὸν ἡμέτερον, εἰ μή σε [z] ᾔδειν,
οὐ πόρ-

οὐ πόῤῥω τῶν ἐκείνου παθῶν, καὶ ὄντα σὺν θεῷ, καὶ ἐσόμενον. ταῦτά μοι δοκεῖς κατεπάδων σεαυτοῦ, ὦ θεία καὶ ἱερὰ κεφαλή, καὶ οὕτως σεαυτὸν ἰατρεύων, αὐτός τε ἂν ῥάων γενέσθαι, καὶ ἡμᾶς εὐφραίνειν τοὺς σοὺς ἐπαινέτας καὶ ἐραστάς· οὐδὲ ὑπὸ τῆς νόσου καμπτόμενος, οὐδὲ (ὅ φησιν ὁ θεῖος Δαβίδ) ὑπὸ τῆς εἰρήνης τῶν ἁμαρτωλῶν, καὶ τῆς κατὰ τὸν βίον τοῦτον εὐροίας αὐτῶν ἐγκοπτόμενος, ἀλλὰ καὶ καθαιρόμενος, εἰ θέμις ἐπὶ σοῦ τοῦτο εἰπεῖν, καὶ ὕλην ἀρετῆς ποιούμενος τὴν ἀσθένειαν.

Gregorius Philagrio.

GRatulor tibi, quod philosophicè in calamitatib' te geris, multisq́; tolerantiæ in rebus acerbis exẽplum existis, & quemadmodum ad optima quaque corpore vtebaris, cùm sanus esses, ita nunc quoque eo præclarè vteris, postquam in morbum incidisti, atque ociaris minimè ociosè, vt ita loquar. Philosopharis enim, & quod Diogenem olim dixisse ferunt, cùm febre laboraret, ac dolorem fortiter perferret, hoc ipse quoque præbes, nimirum animæ & corporis colluctationem. Hoc scilicet Philagrium meum decebat, nempe non emolliri, nec doloribus frangi, sed lutum contemnere, ac corpus quidem sinere ea pati, quæ ipsius natura fert, naturæ lege omnino, vel nunc, vel postea dilapsurum (interibit enim vel morbo vel senectute

ctute confectum) sursum autem animam habere, ac per cogitationes cum Deo coniungi, illudque minimè ignorare: absurdum & præposterum esse, nos extra pericula philosophari, tempore autem id postulante philosophiæ expertes apparere, nec quod profitemur, præstare. Omnia quidem animo peruoluisti, tam nostra quàm externa, vtpote vir in vtrisq; eruditus, & aliorũ præceptor: atq; humanitatis pharmacum tibi ipse ex omnibus collegisti. Verùm, vt tecum, si ita iubes, nonnihil philosopher, Aristotelis ieiunitatem non probo, qui beatitudinẽ nobis definiens, quodam tenus, quidem rectè progressus est, nempe animæ actionem secundum virtutem esse pronuncians, addensq́; etiam in vita perfecta: hoc quoque ipsum admodum sapienter, propter mutabilẽ facileq́; in diuersum labentem naturæ nostræ conditionem. At illud non iam magnificè, sed perquam sordidè atq; abiectè, quod externam quoq; bonorum abundãtiam adiunxit: ita vt si quis inops sit, aut valetudinarius, aut obscuro genere, aut à patria extorris, propterea ipse à beatitudine arceatur. At Stoicorum animi magnitudinem ac præstantiam laudo, qui res externas nullum ad beatitudinem, impedimentum afferre dicũt, sed virum bonum beatum esse, etiamsi in Phalaridis tauro cremetur. Ob eamq; causam nõ eos tantùm admiror, qui apud nos pro virtute periculis se obtulerunt, aut calamitatem fortiter tulerunt: sed exter-

externos etiam, qui similes eorum extiterunt, verbi gratia, Anaxarchum, Epictetum, Socratem, vt ne plures recenseam. Quorum primus cùm manus ipsius, tyranno ita imperante, in mortario ita contunderentur, carnifices Anaxarchi culeum tundere iubebat (ita videlicet hanc ærumnosam carunculam appellans) quasi Anaxarchus ipse minimè tunderetur, hoc est, philosophi anima: quæ quidem apud nos externus homo & internus appellantur. Alter, cùm crus ipsi frangeretur, velut in alieno corpore philosophabatur, citiusque crus perfractum esse visum est, quàm ipse vim doloris persensisse. Socrates denique ab Atheniensibus ad mortem damnatus, carceremque, vt scis, incolens, prius quidem de corpore, tanquam de alio carcere, cùm discipulis disserebat, cúmque fugam inire liceret, id facere recusauit: postquam autem cicuta oblata est, perlibenter accepit, perinde ac non lethale poculum acciperet, sed propinando amicos ad potandum inuitaret. His Iobum quoq; nostrum adiecissem, nisi te scirem, ab eius doloribus, Deo opitulante, non longè remotum esse, atque etiam fore. His rationibus teipsum mulcens, vir diuine & sacrosancte, atque hanc medicinam adhibens, tum ipse vt reor, habiturus es, tum nos etiam laudum tuarum præcones voluptate afficies, nimirum te ipsum ita comparans, vt nec morbo debiliteris, ne quod

ait Dauid, ob peccatorum pacem, eorumque in hac vita fœlicem rerum cursum offendaris: quin potius purgeris (si hoc verbo in te vti fas est) atq; infirmitatem, virtutis materiam existimes.

Γρηγόριος Ὀλυμπίῳ.

17. Πάλιν φιλανθρωπίας καιρός, καὶ πάλιν ἐγὼ τολμηρὸς γράμμασι πιστεύων περὶ τοσούτου παράκλησιν πράγματος. ποιεῖ γάρ με θρασὺν ἡ νόσος, οὐδὲ προσιέναι συγχωροῦσα. οὐ γὰρ δὴ εὐπρεπῆ παρέχει τὴν εἴσοδον. τίς οὖν ἡ πρεσβεία; καί μου δέξαι ταύτην ἡμέραν φιλανθρώπως. δεινὸν μὲν καὶ ἀνδρὸς θάνατος (πῶς γὰρ οὔ·) τοῦ σήμερον ὄντος, καὶ αὔριον οὐκ ἐσομένου, οὐδὲ πρὸς ἡμᾶς ἀ-
a ἀποθνήσκω. ναλύοντος. πολλῷ δὲ δεινότερον πόλιν [a] ἀποθανεῖν,
ἣν βασιλεὺς [b] ἱδρύσατο, καὶ χρόνος [c] συνεστήσατο, καὶ
b ἱδρύομαι ἀκολουθία μακρὰ διεφύλαξεν. ὑπὲρ τῆς Διοκαι-
c συνίσταμαι σαρέων ὁ λόγος, τῆς ποτε πόλεως, νῦν δὲ οὐ πόλε-
d νεύω. ως, εἰ μὴ σὺ [d] νεύσειας ἥμερον. ταύτην σοι προσπίπτειν νόμισον δι' ἡμῶν. καὶ φωνὴν ἐχέτω,
e κείρομαι. καὶ σχῆμα πενθικὸν περικείσθω, καὶ [e] κειρέσθω κόμας ὥσπερ ἐν δράματι. καὶ τούτους ποιείσθω
f βοηθέω. πρός σε τοὺς λόγους. δός μοι χεῖρα χαμαὶ κει-
g συνεπιτίθεμαι. μένῃ, [f] βοήθησον ἀσθενούσῃ. μὴ [g] συνεπιθῇ τῷ

χρόνῳ

χρόνῳ, μηδὲ διαφθείρῃς τὰ πρὸς σῶν λείψανα. πόλεις ἐγείρειν σοι πρεπωδέστερον ἢ καταλύειν τὰς [h] κεκμηκυίας. γνῶ τοῦ πολιστῆς, ἢ τῷ [i] προσθῆναί τι τοῖς οὖσιν, ἢ τῷ φυλάξαι τὴν οὖσαν. μὴ [k] ἀνάσχῃ μέχρι τῆς σῆς ἀρχῆς εἶναι πόλιν, καὶ μετὰ σε, μηκέτ᾽ εἶναι· μηδὲ δοῦναι πονηρὸν τῷ χρόνῳ διήγημα, [l] λαβεῖν [m] ἀριθμουμένην ἐν πόλεσι, καὶ [n] καταλιπεῖν χωρίον ἀοίκητον τὴν ποτὲ πόλιν ὄρεσι καὶ κρημνοῖς καὶ ὕλαις μόναις γνωριζομένην. ταῦτα μὲν ποιείτω καὶ λεγέτω περὶ τὴν σὴν φιλανθρωπίαν, ἡ τοῦ πλάσματος πόλις. ἡμῶν δὲ ὡς φίλων δέξαι παραίνεσιν. [o] σωφρονίσαι μὲν θέλησον τοὺς [p] ἐξημαρτηκότας εἰς τὸ πρᾶγμα τῆς σῆς ἐξουσίας (ὑπὲρ γὰρ τούτου, οὐδὲν θαρροῦμεν, εἰ καὶ μὴ ἀπὸ κοινοῦ σκέμματός φασιν εἶναι τὸ θράσος, ἀλλὰ μειρακίσκων τινῶν ὁρμὴν ἀλόγιστον) τὸ πλεῖον δὲ τῆς ὀργῆς [q] συγχωρῆσαι, καὶ λογισμῷ [r] χρήσασθαι μείζονι. μητρὸς [s] ὑπερήλγησαν [t] νεκρουμένης· οὐκ [u] ἤνεγκαν πολῖται καλεῖσθαι, καὶ εἶναι ἀπόλιδες. [x] ἐμάνησαν, [y] παρηνόμησαν, [z] ἀπέγνωσαν τῆς ἑαυτῶν σωτηρίας. ἔκφρονας αὐτοὺς τὸ παράδοξον τοῦ πάθους ἐποίησεν. ἆρ᾽ οὖν διὰ τοῦτο χρὴ μηδὲ εἶναι πόλιν τὴν πόλιν; μηδαμῶς ὦ θαυμάσιε. μὴ τοῦ τῆς ἐπιγραφῆς. ἀλλὰ τίμησον μὲν,

h κάμνω.
i προστίθημι.
k ἀνέχομαι.
l λαμβάνω
m ἀριθμέομαι.
n καταλείπω.
o σωφρονίζω.
p ἐξαμαρτάνω.
q συγχωρέω.
r χράομαι
s ὑπεραλγέω.
t νεκρόομαι.
u φέρω.
x μαίνομαι
y παρανομέω.
z ἀπογινώσκω.

μὲν, πάντας πολίτας τε καὶ πολιτευτὰς καὶ ἀξιω-
ματικοὺς ἱκετεύοντας (πάντων γὰρ οὐ τὴν συμ-
φορὰν ὁμοίως ἄπλεαθε, καὶ ἐν τῷ μεγέθει τῆς
σῆς ἐξουσίας ἐφησυχάζουσιν, οἷον ὑποβρύχια
στένοντες) τίμησον δὲ τὴν ἡμετέραν πολιάν.
οἷς δεινὸν εἴ ποτε τὴν μεγάλην πόλιν ἔχοντες,
νῦν μηδὲ πόλιν ἔχοιμεν, καὶ θηρίων οἰκητή-
ριον γένοιτο μετὰ τὴν σὴν ἀρχὴν, ὅ,τι ναὸς ὃν
aa ἀγείρω. [aa] ἠγείραμεν τῷ Θεῷ, καὶ ἡ περὶ τοῦτον ἡμῖν
bb κατα- φιλοκαλία. οὐδὲ γὰρ εἰ ἀνδριάντες [bb] καταυ-
φέρομαι. χηθήσονται τοῦτο δεινὸν, εἰ καὶ ἄλλως δεινόν (μη-
δὲ περὶ τούτων νεμέσεις ἡμῖν εἶναι τὸν λόγον, οἷς
περὶ τὰ κρείττονα ἡ σπουδή) ἀλλ' εἰ συγκατευ-
χηθήσεται τούτοις πόλις ἀρχαία, καί τι λαμ-
cc φέρω. πρὸν [cc] ἐνεγκοῦσα, ζώντων ἡμῶν καὶ ὁρώντων
τῶν παρά σοι τιμωμένων, καί τινα ἰσχὺν ἔχειν
νομιζομένων. ἀλλ' ὁ μὲν περὶ τούτων λόγος το-
σοῦτος. οὐδὲ γὰρ εἰ πλείονα εἴπομεν, ἰσχυρό-
dd εὑρίσκω τερόν τι τῶν σῶν [dd] εὑρήσομεν λογισμῶν, οἷς
ee γινώσκω ἔθνος τοσοῦτον ἄγεται, καὶ ἀχθείη γε πλείω
ff περιπί- καὶ μείζω, καὶ ἐπὶ μείζοσι τῆς ἀρχῆς. ἐ-
πτω. κεῖνο δὲ ἀναγκαῖον [ee] γνῶναι τὴν σὴν μεγα-
gg ἀπορρί- λόνοιαν περὶ τῶν [ff] περιπεπτωκότων, ὅτι παν-
πτομαι. τελῶς εἰσὶν ἄθλιοι, [gg] ἀπερριμμένοι, καὶ μη-
hh ἁμαρ- δεμιᾶς ἀταξίας τοῖς [hh] ἡμαρτηκόσι [ii] κοινωνή-
τάνω. σαντες,
ii κοινωνέω

σαντες, ὡς πολλοὶ πείθουσιν ἡμᾶς τῶν τότε παρόντων. πρὸς ταῦτα [kk] βούλευσαι ὅτι ἂν συμφέρειν νομίζεις καὶ πρὸς τὴν ἐντεῦθεν δόξαν, καὶ πρὸς τὰς ἐκεῖθεν ἐλπίδας. ἡμεῖς γὰρ τὸ [ll] παρεστὼν [mm] οἴσομεν οὐκ ἀλύπως μὲν, οἴσομεν δέ. τί γὰρ ἂν καὶ πράξαιμεν ἕτερον; εἰ δὲ τὰ χείρω [nn] νικήσειεν, ἓν [oo] χαλεπανοῦμεν, καὶ τῇ προτέρον πόλει [pp] ἐπιβαλοῦμεν δάκρυον.

kk βουλεύομαι. ll παρείσιμι. mm φέρω. nn νικάω. oo χαλεπαίνω. pp ἐπιβάλλω.

Gregorius Olympio.

Rursus benignitatis tempus: & rursus ego audax & temerarius, qui rei tantæ deprecationem literis committam. Audacem enim me morbus facit, ne progredi quidem sinens, nec etiam honestum & decorum ad te accessum præbet. Quæ igitur est hæc deprecatio? à me placidè & humanè hodierno die suscipe. Acerba quidem etiam res est mors hominis (quidni enim?) hodie viuentis & cras morituri, nec ad nos reuersuri. Multò autem acerbior est vrbis interitus, quam imperator condidit, & tempus constituit, & longa annorum series conseruauit. De Diocæsarea loquor quondam ciuitate, nunc autem è ciuitatum albo expuncta, nisi tu placidum quiddam annuas. Hanc per nos pedibus tuis aduolui existimato. Ac vocem etiam habeat, & lugubrem habitum induat, & comã

laniet,

laniet, velut in Tragœdia, taliq́; oratione te alloquatur. Porrige mihi manum humi iacenti, succurre laboranti. Ne ad temporis acerbitatem impetum tuum adiungas, ne Persarum reliquias euertas. Honestius tibi fuerit vrbes extruere, quàm laborantes delere. Ciuitatis conditor existe, vel ad eam quidpiam addendo, vel integram conseruando. Ne patiaris eam vsq; ad imperium tuum ciuitatem esse, & post te iam non esse: nec committas, vt posteri habeant, quod de te malè loquantur, nimirum te inter ciuitates numeratam accepisse, atq; eam quæ quondam vrbs erat, vastum & incultum locum reliquisse, montibus duntaxat, & præcipitiis, ac ruderibus solis agnoscendam. Atque hæc apud tuam humanitatem faciat, & dicat ciuitas ea, quam loquentem induximus. Iam nostram, hoc est, amici viri admonitionem accipe. Causam haud dico quin tu in eos, qui in tuæ potestatis edictum peccarũt, animaduertas, nam pro hac re nullum verbum dicere audemus, etsi audax hoc facinus nequaquam à communi consilio, sed à temerario quorundam adolescentum impetu profectum esse narrant. Cæterùm maiorem iræ partem remitte, ac sublimius rem tecum considera. Doluerunt matrem opprimi, ac velut enecari, non tulerunt se ciuium nomen habere, & ciuitate carere, furore perciti sunt, à legibus recesserunt, salutis suæ spem abiecerũt, calamitatis nouitas eos de mentis statu deturbauit. Idcircóne vr-


bem

bem euerti oportet? Absit à te, vir præclare, vt hoc statuas. Quin potius te moueat, cùm ciuium omnium eorum, qui Rempublicam administrant, & magistratus gerunt, deprecatio (omnes enim æquè puta calamitate hac affici, etiamsi auctoritatis tuæ magnitudine deterriti quietem agunt, taciteq́ ingemiscunt,) tum nostra etiam canities, cui graue & acerbum fuerit, si magnam quondam vrbem habentes, nunc ne vrbem quidem habeamus, sed post imperium tuum in ferarum lustrum conuertatur templum illud, quod Deo extruximus, omneq́ nostrum in eo exornando studium. Neque enim si statuæ deiiciantur, hoc graue & acerbum est, etiamsi alioqui acerbum (nec de his nobis esse sermonem arbitreris, qui in præstantiora incumbimus) verùm si vrbs antiqua, & quæ eximij aliquid ac præclari tulit, vnà cum illis corruat, nobis viuentibus ac videntibus, qui in honore apud te sumus, gratiaq́ & auctoritate nonnihil valere existimamur. Sed de his rebus satis à nobis dictum sit. Neq; enim si plura dixerimus validius quiddam fortiusq́ tuis rationibus atque consiliis inueniemus, quibus prouincia tanta gubernatur, atque sublimiora imperia. Hoc autem tuæ animi magnitudini de iis, qui genibus tuis prouoluti sunt, notum esse oportet, quod prorsus miseri & abiecti sunt, nec cum iis, qui facinus illud patrarunt, petulantiæ vllius socij atq; consortes extiterunt, quemadmodum multi ex iis, qui

tum

tum adfuerunt, mihi fidem faciunt. De his rebus hoc conſtitue, quod ex vſu eſſe iudicabis, tum ad huius vitæ gloriam, tum ad ſequentis vitæ ſpem. Nos verò quod tibi decernere in mentem venerit, non quidem ſine mœrore feremus, ſed tamen feremus. Quid enim aliud faceremus? Quòd ſi deterior ſententia vicerit, rem vnam acerbè feremus, eamqúe, quæ prius vrbs erat, lachrymis proſequemur.

* * *





EPI-



EPIGRAMMATA NONNVLLA SELECTIORA.

IN DEOS.

Luciani.

Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας·
Οὐ λήσεις δὲ θεοὺς οὐδὲ λογιζόμενος.

Interpretatio ad verbum.

